ζωπυρήσεις ἀντὶ τῦ ἀνεγερεῖς· ⟨A Lys. 683⟩ "εἰ μὴ τὼ θεὼ ζωπυρήσεις, λύσω τὸν ἐμαυτῆς ὑόν, καὶ ποιήσω τήμερον τὰς δημότας βωςρεῖν σ' ἐγὼ πεκτόμενον."

ζωπύρια φυσητήρια.

ζώπυρον πεπυρακτωμένον, ἔνθερμον.

Ζωπύρου τάλαντα. Ζώπυρος ὁ Πέρσης βασιλεῖ χαριζόμενος, μαςιγώσας ἑαυτὸν καὶ τῆς ῥινὸς καὶ τῶν ὤτων ἀφελόμενος, εἰσῆλθεν εἰς Βαβυλῶνα, καὶ πιςευθεὶς διὰ τὰ περὶ τὸ σῶμα προὔδωκε τὴν πόλιν. ἐκ μεταφορᾶς οὖν εἶπε τάλαντα καὶ ζυγά, οἱονεὶ ἔργα καὶ πράξεις.

a Ζωροάςρης Περσόμηδος σοφός, ὃς καὶ πρῶτος ἦρξε τῦ παρ' αὐτοῖς πολιτευομένου ὀνόματος τῶν Μάγων. ἐγένετο δὲ πρὸ τῶν Τρωικῶν ἔτεσι φ'. φέρεται δὲ αὐτῦ περὶ φύσεως βιβλία δ', περὶ λίθων τιμίων ἕν, ἀςεροσκοπικά, ἀποτελεσματικὰ βιβλία ε'.

b Ζωροάςρης ἀςρονόμος ἐπὶ Νίνυ βασιλέως Ἀσσυρίων, ὅςις ηὔξατο ὑπὸ πυρὸς οὐρανίυ τελευτῆσαι, παρεγγυήσας τοῖς Ἀσσυρίοις τὴν τέφραν αὐτῦ φυλάττειν· ὅτω γὰρ αὐτοῖς ἡ βασιλεία ὐκ ἐκλείψει διὰ παντός. ὅπερ μέχρι νῦν πεφύλακται παρ' αὐτοῖς.

Ζωρομάσδρης Χαλδαῖος σοφὸς ἔγραψε μαθηματικὰ καὶ φυσικά.

ζωρόν ζωτικόν.

ζωροπόται ἀκρατοπόται.

ζωρότερον ἀκρατότερον· ἐν ἐπιγράμματι ⟨AP 6 115⟩ "καὶ ζωρὸν κεράσας ἰσοχειλέα." καὶ Ὅμηρος εἰπὼν ⟨*I* 203⟩ "ζωρότερον δὲ κέραιε" διαφορὰς κράσεων λέγει, ὡς μίγματός τινος ςερεμνίους ποιοῦντος τοὺς πίνοντας.

ζώς ⟨Hom. *E* 887⟩ ἀντὶ τῦ ζῶν.

ζώσας ἐναργεςέρας, οὐκ ἀπολλυμένας· Σοφοκλῆς ⟨OR 44⟩ "ὡς τοῖσιν ἐμπείροισι καὶ τὰς ξυμφορὰς ζώσας ὁρῶ μάλιςα τῶν βουλευμάτων." τουτέςιν ἐν τοῖς συνετοῖς τὰς συντυχίας καὶ τὰς ἀποβάσεις τῶν βυλευμάτων ὁρῶ ζώσας καὶ ὐκ ἀπολλυμένας. ἀντὶ τῦ ὐ σφάλλεται, ἀλλὰ τῦ ἀποβησομένυ ςοχάζεται καλῶς.

Ζωσιμᾶς ὄνομα κύριον.

a Ζώσιμος Ἀλεξανδρεὺς φιλόσοφος χημευτικὰ πρὸς Θεοσεβίαν τὴν ἀδελφήν· ἔςι δὲ κατὰ ςοιχεῖον ἐν βιβλίοις κή, ἐπιγράφεται δὲ ὑπὸ τινῶν χειρόκμητα. καὶ ὁ Πλάτωνος βίος.

b Ζώσιμος Γαζαῖος ἢ Ἀσκαλωνίτης, σοφιςής, κατὰ τοὺς χρόνους Ἀναςασίυ τῦ βασιλέως, ἔγραψε λέξιν ῥητορικὴν κατὰ ςοιχεῖον, καὶ ὑπόμνημα εἰς τὸν Δημοσθένην καὶ εἰς Λυσίαν.

ζῶσμα φαεινόν ⟨Hom. ξ 482⟩ τὸν χιτῶνα, ἀπὸ τοῦ ζώννυσθαι. ἄλλοι δὲ τὸν θώρακα, οἱ δὲ κυρίως τὸ ζῶσμα· "οἱ Ῥωμαίων ψιλοὶ ἐφαπτίδα εἶχεν ἕκαςος αὐτῶν καὶ ζώσματα πρὸ τῶν μηρῶν."

Ζώςειον ὄνομα τόπου.

ζωςήρ ᾧ ἐπάνω τοῦ θώρακος χρῶνται.

ζῶςρα ἐνδύματά τινα ἀνδρῶν, οἷον χιτῶνας βαθεῖς, οὓς ζώννυνται τῇ ζώνῃ.

ζωύφιον.

ζωφυτεῖσθαι ζῳογονεῖσθαι.

ζώων ζῶν· ⟨AP 9 397⟩ "ζώων μὲν σέο ματρὶ διαμπερὲς αἶσχος ἀνάπτεις, καὶ κρατερᾶς Σπάρτας πάτρια θεσμὰ λύεις."

ἢ ἢ παρὰ Ἀριςοφάνει ἐν Νεφέλαις ⟨106⟩ "ἢ ἢ σιώπα· μηδὲν εἴπῃς νήπιον." συγκαταθετικῶς. μὴ εἴπῃς δὲ εὔηθες.

περὶ τοῦ ἢ συνδέσμου. ἢ γὰρ διαζευκτικός ἐςιν ἢ διασαφητικὸς ἢ ὑποδιαζευκτικός. καὶ διαζευκτικὸς μὲν ὁ τὰ ἐναντία ἐν τῇ συντάξει διιςῶν, οἷον ἡμέρα ἢ νύξ, ⟨Hom. Ξ 108⟩ "ἢ νέος ἠὲ παλαιός." ὑποδιαζευκτικὸς δέ ἐςιν ὁ διάφορα πράγματα τιθεὶς καὶ μηδὲν ἕτερον ἐν τῇ αἰτήσει διαιρῶν, οἷον "δός μοι χρυσὸν ἢ ἄργυρον ἢ λίθους τιμίους." διασαφητικὸς δέ, ὅταν τῶν δύο προτεθέντων τὸ ἓν αἱρῆται, οἷον "ἐν γῇ πένεσθαι κρεῖσσον ἢ πλουτοῦντα πλεῖν," καὶ "θέλω τύχης ςαλαγμὸν ἢ φρενῶν πίθον."

ᾗ ἀντὶ τοῦ ὡς, καθώς.

ᾗ νομίζεται ⟨S OC 1603⟩ ὡς νενόμιςαι ἐπὶ τοῖς νεκροῖς.

ᾗ ὅπου, τοπικόν· "ᾗ ἄμα μὲν ςερεὸν ἄμα δὲ χθαμαλὸν ἦν" ⟨cf. v. χθαμαλά⟩. καὶ αὖθις ⟨AP 7 98⟩ "ᾗ σὺ φιληδῶν οὕτως ἀρέσκῃ καὶ μένειν ἔγνως."

ἦ χωρὶς τοῦ ν, ἀντὶ τῦ ἦν. "ἀλλ' οἱάπερ αὐτὸς ἔμαθον ὅτε παῖς ἦ" ἀντὶ τοῦ ἦα Ἀριςοφάνης Ὄρνισι ⟨1363⟩, καὶ ἐν Λυσιςράτῃ ⟨644⟩ "ἦ δεκέτις." ἀντὶ τοῦ ἦα, κατὰ συναίρεσιν ἦ, ἀντὶ τοῦ ἤμην, καὶ χωρὶς τοῦ ν· Ἀριςοφάνης Πλούτῳ ⟨77⟩ "ἆ κρύπτειν ἦ παρεσκευασμένος." τίθεται καὶ ἐπὶ γ' προσώπυ. ἔςι δὲ καὶ ἐπὶ τοῦ ἤμην ἐκ τῆς Ὁμηρικῆς διηγήσεως ⟨*Λ* 762⟩ "ὣς ἔον, εἴ ποτ' ἔην γε."

ἦα δισυλλάβως τὸ ἐπορευόμην. σὺν τῷ ι γράφεται· οἱ γοῦν Ἴωνες ἤια λέγουσι, καὶ ἤισαν τὸ ἤεσαν. καὶ παρὰ Θουκυδίδῃ (1 1) οὕτως ἀναγνωστέον, "ὅτι ἀκμάζοντές τε ἦσαν ἐς αὐτόν." οἱ Ἴωνες ἤεσαν καὶ ἤισαν. Ἀριστοφάνης Ὁλκάσιν "ἐπεὶ δ' ἐγενόμην οἷπερ ἦ' ἐπὶ ξύλα."

ἡ ἀγάπη οὐ περπερεύεται (1 Corinth. 13 4) ἀντὶ τοῦ οὐ προπετεῖ. καὶ ἔστιν ἐν τῷ περπερεία.

ἠακότες θρηνήσαντες.

ἡ ἀπὸ Σκυθῶν ῥῆσις. τέτακται ἡ παροιμία ἐπὶ τῶν ἀποτόμως οἰμώζειν τινὰ λεγόντων, παρ' ὅσον οἱ Σκύθαι τῷ Πέρσῃ, μηνύσαντι περὶ τοῦ εἶξαι, ἀπεκρίναντο κλαίειν αὐτὸν εἰπόντες.

ἠάριζον τὸ τοῦ ἔαρος ἔλεγον.

ἡβᾷ ἀκμάζει, σφριγᾷ.

ἠβαιαί (Hom. Ξ 141). καὶ ἠβαιόν (B 380) μικρόν, ὀλίγον.

ἡβάσκει ἀκμάζει.

ἥβη νεότης, ἀκμή. σημαίνει δὲ καὶ ὄνομα θεᾶς.

a ἡβηδόν ἡβῶντας, ἢ τὰς στρατιάς, ἢ ἀθρόον ὅλα καθ' ἡλικίας· "οἱ δὲ ἡβηδὸν ἅπαντας κατέσφαξαν, ὀργὴν ποιούμενοι τῷ μὴ τοῖς σφῶν ὑπαχθῆναι λόγοις."

b ἡβηδόν σὺν πάσῃ ἡλικίᾳ. παρὰ δὲ Ἡροδότῳ (1 172) ἀντὶ τοῦ μετ' ἰσχύος, μετ' ἀκολασίας.

ἡβήσαντες ἀκμάσαντες· Εὐνάπιος "οἱ δὲ παῖδες ἡβήσαντες καὶ γενόμενοι θυμοῦ καὶ χειρῶν κύριοι." καὶ ἐπὶ διετὲς ἡβῆσαι λέγεται ὅταν οἱ ἐπικλήρων υἱεῖς δοκῶσι γεγενῆσθαι ἁρμόδιοι τὰ πατρῷα παραλαμβάνειν. Ἰσαῖός φησιν "ἐνηγόμεθα μὲν ἐκείνῃ τὸν ἐγγυτάτω γένους δεῖν συνοικεῖν, τὰ δὲ χρήματα τέως μὲν τῆς ἐπικλήρου εἶναι, ἐπειδὰν δὲ παῖδες ἐπὶ διετὲς ἡβῶσιν, ἐκείνους αὐτῶν κρατεῖν."

ἡβητήρ. καὶ ἥβη ἡ πρώτη ἔκφυσις τῶν τριχῶν. ἐν ἐπιγράμματι (AP 5 277) "ὦ καλὸν ἡβητῆρες· ἀπεχθαίρω γὰρ ἐκείνην τὴν τρίχα τὴν ταχὺ φυομένην."

a ἡβητήριον τὸ παιδευτήριον.

b ἡβητήριον ἡ κατάλυσις.

ἠβουλόμην ὡς ἀττικώτερον, ἐβουλόμην δὲ οἱ πολλοί.

ᾗ βούλονται καθὸ βούλονται.

ἡβυλλιῶσαι ἀκμάζουσαι τὴν ἡλικίαν· Ἀριστοφάνης Βατράχοις (517) "ὀρχηστρίδες ἡβυλλιῶσαι κἄρτι παρατετιλμέναι." λείπει τὰς τρίχας· αἱ γὰρ μελλόνυμφοι ἔτιλλον τὰς τρίχας.

ἡβῶμαι. καὶ ἡβῷμι (Hom. H 133) καὶ ἡβώοιμι (H 157) αὐξάνοιμι.

ἡβώωσα αὐξάνουσα.

ἠγαθέη ἡ ἄγαν θεία.

ἤγαλλεν ἐθεράπευεν· Δίων ἐν ιϛ' λόγῳ Ῥωμαϊκῶν "διά τε οὖν ταῦτα καὶ ὅτι τὸ θεῖον ἀκριβῶς ἤγαλλεν." κέχρηνται δὲ τῇ λέξει ταύτῃ ἄλλοι τε καὶ Εὐνόμιος ὁ δυσσεβής, καὶ αὐτὸς οὗτος πολλάκις.

ἠγαλλέη ἡ θεραπευτική.

ἡ γαμήλιος.

ἦ γάρ; ἀντὶ τοῦ οὐχ οὕτως;

ἠγάσαντο ἐθαύμασαν, καὶ ἠγάσθην ἐθαύμασα· "ὁ δὲ Καῖσαρ ὡς ἔμαθε πάσας τὰς κατ' αὐτὸν τύχας, ἠγάσθη τοῦ ἀνδρὸς καὶ ἔσχε σύμμαχον."

ἠγγέλη ἀπηγγέλη.

ἠγγύα ἐβεβαίου.

ἤγειρα (Hom. E 208) παρώξυνα.

ἠγείσθην (Hoиr. B 731) ἀντὶ τοῦ ἡγοῦντο.

ἦγε καὶ ἔφερεν ἀντὶ τοῦ ᾐχμαλώτιζε, κατέτρεχεν· (Arrianus: cf. v. ἁλώσιμα) "ὁ δὲ ἐκεῖθεν ὁρμώμενος ἦγε καὶ ἔφερε τῆς ὑπ' ἐκείνῳ οὐκ ὀλίγην, καὶ αὐτὸς οὐδαμῇ ἦν αὐτῷ ἁλώσιμος." cf. v. ἄγειν καὶ φέρειν.

Ἡγέλοχος τραγῳδίας ὑποκριτής. "ἔξεστι δ', ὥσπερ Ἡγέλοχος, ἡμῖν λέγειν, ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ" (A Ran. 304), ἐπὶ τῶν διαφυγόντων τὰ λυπηρά. ὁ γὰρ Ἡγέλοχος οὗτος καὶ ἐν τῷ Ὀρέστῃ τοῦ Εὐριπίδου (279) προστάντος αὐτῷ τοῦ πνεύματος ἐν τῷδε τῷ στίχῳ "ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ," (γαληνὰ γὰρ τὸ πλῆρες) αἰφνιδίως ὀφθῆναι συνελόντα τὴν συναλοιφήν. τοῦτον δὲ καὶ ὡς ἀτερπῆ τὴν φωνὴν Πλάτων σκώπτει.

ἡγεμονεύω διοικῶ. καὶ ἡγεμόνι ὑπεροχικῷ ἄρχοντι, καὶ καθηγεμόνι.

ἡγεμονία δικαστηρίου. τοῖς ἄρχουσιν a οὐ πάσας πᾶσιν ἐφεῖτο δίκας εἰσάγειν, ἀλλὰ τῷ μὲν ἄρχοντι τὰς τῶν ὀρφανῶν καὶ τὰς τῆς παρανοίας καὶ τὰς τῶν ἐπικλήρων ἐπιδικασίας, τοῖς δὲ λογισταῖς τὰς κατὰ τῶν ἀρξάντων εὐθύνας, τῷ μέντοι γε βασιλεῖ τάς τε φονικὰς καὶ τὰς τῆς ἀσεβείας καὶ ἄν τις ἱερωσύνης ἠμφισβήτει, πρότερον δὲ καὶ τὰς περὶ τῶν ἱερῶν τοῖς ἱερεῦσιν ἀμφισβητήσεις·

προηγόρευε δὲ καὶ τῶν νομίμων εἴργεσθαι τοὺς ἐν αἰτίᾳ. τῷ πολεμάρχῳ δέ, ὅσαι ἀποστασίου γραφὴν ἔφερον· ἔτι μὴν καὶ ὅσα ὁ ἄρχων ἐν τοῖς ἀστοῖς, ὁ πολέμαρχος τοῖς μετοίκοις δίῃτα. τοῖς θεσμοθέταις συκοφαντίας καὶ δώρων καὶ ὕβρεων καὶ μοιχείας καὶ βουλεύσεως, τοῖς ἕνδεκα ὅσοι λῃστὰς καὶ λωποδύτας καὶ ἀνδραποδιστὰς εἰσάγουσι, τῷ στρατηγῷ περὶ τριηραρχίας καὶ ἀντιδόσεως. οὕτως οὖν διαιτῶντες ἡγεμονίαν δικαστηρίου ἔχειν λέγονται. ἀλλὰ γὰρ ὁ βασιλεὺς καὶ τῶν μυστηρίων ἅμα τοῖς ἐπιμεληταῖς προΐσταται, ἔχει δὲ μόνος καὶ στέφανον.

b ἡγεμονία δικαστηρίου· *Αἰσχίνης κατὰ* **Κτησιφῶντος** ⟨14⟩. ἄλλαι πρὸς ἄλλους τῶν ἀρχόντων ἐλαγχάνοντο δίκαι, τὰς δὲ ἀπενεχθείσας αἱ ἀρχαὶ κατὰ τὸν αὐτῆς ἑκάστη νόμον εἰσῆγον εἰς δικαστήριον ἡγουμένη καὶ προεστῶσα, οἷον πρὸς μὲν τὸν ἄρχοντα αἱ τῶν ὀρφανῶν καὶ αἱ τῶν ἐπικλήρων, πρὸς δὲ τὸν βασιλέα αἱ τῆς ἀσεβείας, πρὸς δὲ τὸν πολέμαρχον ἀποστασίου τε καὶ ἀπροστασίου, πρὸς δὲ τοὺς θεσμοθέτας αἱ τῆς ξενίας τε καὶ δωροξενίας καὶ συκοφαντίας καὶ ψευδεγγραφῆς καὶ ὕβρεως καὶ μοιχείας καὶ ἐπιβουλεύσεως καὶ ἄλλων. Harp. cf. v. παράστασις.

ἡγεμονικόν ὁ νοῦς. ἢ τὸ κυριώτατον τῆς ψυχῆς, ἐν ᾧ αἱ φαντασίαι καὶ αἱ ὁρμαὶ γίνονται, καὶ ὅθεν ὁ λόγος ἀναπέμπεται· ὅπερ εἶναι ἐν τῇ καρδίᾳ. Diog. L. 7 159.

a ἡγεμών ἡγεμόνος, καὶ ὦ ἡγεμών. "ἡγεμόνας ἐδέοντο τῆς ἀτραποῦ σφίσι ξυναποστεῖλαι, ὡς ἂν αὐτοὶ ἡγήσοιντο τούτοις ἐπὶ τὸ Σίρμιον."

b ἡγεμών ὁ τῆς ὁδοῦ ἡγούμενος· Ξενοφῶν ⟨Anab. 4 2 1⟩ "καὶ τὸν ἡγεμόνα δήσαντες παραδιδόασιν αὐτοῖς."

ἡγεμὼν συμμορίας, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨312⟩, ὁ προέχων πλούτῳ καὶ διὰ τοῦτο τῶν ἄλλων ἡγεμονεύειν ἐπειλημμένος. Harp.

ἦγεν ἐτέλει· "ὁ δὲ Ἰουλιανὸς ἐν Πέρσαις τοὺς γυμνικοὺς ἀγῶνας ἦγεν." cf. v. γυμνικοί.

ἠγερέεσθαι ⟨Hom. K 127⟩ συναθροίζεσθαι.

Ἡγέριος ὄνομα κύριον.

ἡγέτης ὁ ἡγεμών· ⟨AP 6 167⟩ "ὦ δισσαῖν ἀγέτα θηροσύναιν."

ἠγηλάζω ἄγω, φέρω.

ἥγημα βουλή, γνώμη. παρὰ τῷ προφήτῃ ⟨Ezech. 17 3⟩ εἴρηται.

ἥγημαι λελόγισμαι, ἔσχον.

Ἡγήμων ὁ Θάσιος, ὁ ἐπικληθεὶς φακῆ. a τῶν δραμάτων αὐτοῦ ἐστὶ Φίλιννα, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς ⟨p. 5 et 699⟩.

Ἡγήμων· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτη- b σιφῶντος ⟨285⟩. εἷς ἦν τῶν μακεδονιζόντων καὶ τῶν ἐπὶ δωροδοκίᾳ διαβεβλημένων. Harp.

Ἡγήσανδρος ὄνομα κύριον.

Ἡγήσιππος. οὗτός ἐστιν ὁ κρωβύλος ἐπικαλούμενος, οὗ δοκεῖ τισὶν εἶναι ὁ ζ′ Φιλιππικὸς Δημοσθένους ἐπιγραφόμενος ⟨Harp.⟩. τῶν δραμάτων αὐτοῦ ἐστὶ Φιλέταιρος, ὡς Ἀθήναιος ⟨p. 279⟩.

ἡγήσοιτο προηγήσοιτο.

ἡγήτορες ἡγεμόνες, καὶ ἡγητορία ἡγεμονία.

Ἡγίας. οὗτος ἀμείνων τοῦ πατρὸς ἦν τὰ πρὸς ἀρετὴν ἥκοντα καὶ τὰ πρὸς λόγους, ἔτι μὴν μειράκιον γεγονὼς ἐλπίδας ἔσχεν ἐφ' ἑαυτῷ καὶ πᾶσι παρέσχεν ὡς οὐ πολύ τι ἀπολειπόμενος τοῦ μεγάλου Πλουτάρχου. τοιγαροῦν ὁ Πρόκλος ἠξίωσεν αὐτὸν ἔτι νέον ὄντα τῆς τῶν Χαλδαϊκῶν λογίων ἀκροάσεως· φιλομαθία γάρ τις αὐτῷ καὶ ἐπιείκεια προσῆν κατὰ φύσιν. ἀλλὰ τοῦτο δὴ τὸ εἰωθός, ὁ πλοῦτος μέγα κακὸν ταῖς ψυχαῖς ἔοικεν εἶναι, νομὸν ἄφθονον τοῖς κόλαξι παρεχόμενος οὐ χρυσίου μόνον (οὔπω γὰρ τοῦτο δεινόν) ἀλλὰ νέας ψυχῆς ἁπαλῆς καὶ ῥᾳδίως ὑπὸ τῶν τοιούτων θηρίων καταβοσκομένης ὥσπερ ἀτεχνῶς ἄρτι ἀνθούσης βοτάνης. οὗτοι διέφθειραν τὴν Ἡγίου ζωὴν πρός γε τὸ μὴ γνησίως φιλοσοφεῖν. ἄλλως δὲ φιλομαθής, ὅσα τὴν φύσιν ἐξηγήσασθαι, ἐπεὶ κατὰ τὴν ἄλλην συνήθειαν ἔξω ὅπῃ καὶ διεκπίπτει τῶν ὀρθῶν λογισμῶν. ἱερὸς δέ, εἴπερ τις ἄλλος, εἶναι βουλόμενος τά τε τῶν κηδεστῶν ἱερὰ λαθὼν ἐτελειώσατο κατὰ τὴν Ἀττικήν, οὐ πείσας ἐκείνους, καὶ πολλὰ ἄλλα τῶν κειμένων τέως ἐκ πλείστου χρόνου πάλιν ἐκίνησε, παραβολώτερον ἢ εὐσεβέστερον τῇ προθυμίᾳ χρησάμενος. ὅθεν ἐν τῇ πολιτείᾳ περιβόητος ἐγένετο, καὶ χαλεποὺς ἐφ' ἑαυτῷ τοὺς ἐχθροὺς ἐπεσπάσατο, τούς τε μεγάλων χρημάτων ὀρεγομένους ὧν κύριος ἦν, καὶ ἀπὸ τῶν καθεστώτων νομίμων ἐπιβουλεύοντας. ἐνῆν γάρ τι τῷ Ἡγίᾳ καὶ τῆς Θεαγένους μεγαλόφρονος φύσεως ἐν ταῖς εὐεργεσίαις, ἀκριβέστερον δὲ ἐκείνου τοσοῦτον ὅσον ἐς φίλους καὶ δεομέ-

νους ἀναλίσκειν. Damasc. Phot. p. 349: cf. vv. Εὐπείθιος et Ὄλυμπος.

ἠγλαϊσμένη χαίρουσα, λαμπρυνομένη.

ἡ γλῶττα τῷ κήρυκι τέτων τέμνεται" ⟨A Plut. 1111⟩, τουτέςιν ἡ γλῶττα τῶν θυομένων τῷ Ἑρμῇ δίδοται. Καλλίςρατος δέ φησι τῶν θυομένων τὰς γλώσσας τοῖς κήρυξιν ἀπονέμεσθαι.

ἡ γλῶττ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος" ⟨Eur. Hippol. 612⟩.

a ἠγμένος πεπαιδευμένος, καὶ ἀγωγή ἡ παίδευσις.

b ἠγμένος τεθηρευμένος καὶ πάντα πειθαρχῶν. ⟨Marin. V. Procli 9: cf. v. Ὀλυμπιόδωρος⟩ "ὃ δὲ ἠγάσθη τὸ μειράκιον, ὥςε καὶ θυγάτριον ἔχων ἠγμένον καὶ αὐτὸ φιλοσόφως αὐτῷ κατεγγυῆσαι."

ἠγμένους ἀγομένους.

ἡγνικότες ⟨1 Petri 1 21⟩ καθάραντες.

ἡγόμην ἐτρεφόμην, ἐτύγχανον· ⟨S OR 775⟩ "ἠγόμην δ' ἀνὴρ ἀςῶν μέγιςος τῶν ἐκεῖ, πρίν μοι τύχη τοιάδ' ἐπέςη."

ἠγορόωντο ⟨Hom. Δ 1⟩ ἐδημηγόρουν.

ἡγοῦμαί σου ἄρχω σου, γενικῇ.

ἡγουμενία διὰ τῶ ι. cf. Herodian. epim. p. 221.

ἡγούμενος προηγούμενος.

ἤγουν εἴτουν, ἐπίρρημα διασαφητικόν.

ἠγρίωσαι ἀντὶ τοῦ σκληρύνῃ· Σοφοκλῆς ⟨Phil. 1321⟩ "σὺ δ' ἠγρίωσαι, κοὔτε σύμβολον δέχῃ, ἐάν τε νουθετῇ τις εὐνοίᾳ λέγων, ςυγεῖς πολέμιον δυσμενῆ θ' ἡγούμενος."

ἠγροικισάμην κακῶς ἐφθεγξάμην.

ἣ δέ ἀντὶ τοῦ αὐτὴ δέ.

ἤδεε ⟨Hom. B 409⟩ ἤδει, ἠπίςατο. καὶ ἤδεσαν ὁμοίως.

ἡδεῖα γλυκεῖα.

ἤδεισθα ἤδεις.

ἢ δεῖ χελώνης κρέα φαγεῖν ἢ μὴ φαγεῖν." τῆς χελώνης ὀλίγα κρέα βρωθέντα ςρόφους ποιεῖ, πολλὰ δὲ καθαίρει· ὅθεν τὴν παροιμίαν εἰρῆσθαι Δήμων. ἕτεροι δὲ ἐπὶ τῶν ἀποδύντων μὲν τὸ πρᾶγμα, ςραγγευομένων δέ. φασὶ δὲ αὐτὴν Τερψίωνος εἶναι. cf. Athen. p. 337.

a ἤδη ἀπάρτι.

b ἤδη πρὸ τούτου, λοιπόν, τὸ ἐγγὺς τοῦ παρόντος νῦν ἀτόμου. μέρος δὲ χρόνυ ἢ τῶ μέλλοντος ἢ τοῦ παρεληλυθότος· ἤδη τε γὰρ βαδιεῖσθαί φαμεν κατὰ τὸ συνάπτον τῷ νῦν, ἤδη τε βεβαδικέναι, οὐ πολὺ ἀφιςάντες τοῦ νῦν τὸν χρόνον.

ἤδη ἀντὶ τοῦ λοιπόν, ταχέως. Ἀριςοφάνης Πλούτῳ ⟨96⟩ "φεύγοις ἂν ἤδη τὼς πονηρούς," καὶ Ἰάμβλιχος "ἤδη γὰρ ἐλεῶ σε, ὅτι τὰ αὐτά σοι δυςυχῶ," ἀντὶ τῶ ἐγγὺς τῶ παρόντος. καὶ αὖθις "εἰ δὲ ἤδη μεταμέλει τούτων Ἀντωνίῳ, καὶ αὐτὸς ξυνομολογῶ οὐκ ἀπὸ θυμῶ εἶναι φιλίαν ξυνάψαι Ῥωμαίοις." περὶ Πυθαγόρου "ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς λόγῳ μάτην θνήσκοντας· εἶθ' ὅταν δόμους ἔλθωσιν αὖθις, ἐκτετίμηνται πλέον" ⟨S El. 62⟩, ὡς Πυθαγόρας καθείρξας ἑαυτὸν ἐν ὑπογείῳ λογοποιεῖν ἐκέλευσε τὴν μητέρα ὡς ἄρα τεθνηκὼς εἴη, καὶ μετὰ ταῦτα ἐπιφανεὶς περὶ παλιγγενεσίας καὶ τῶν καθ' ᾅδου τινὰ ἐτερατεύετο, διηγέμενος πρὸς τοὺς ζῶντας περὶ τῶν οἰκείων οἷς ἐν ᾅδου συντετυχηκέναι ἔλεγεν· ἐξ ὧν τοιαύτην ἑαυτῷ δόξαν περιέθηκεν ὡς πρὸ μὲν τῶν Τρωικῶν Αἰθαλίδης ὢν ὁ Ἑρμοῦ, εἶτα Εὔφορβος, εἶτα Ἑρμότιμος Σάμιος, εἶτα Πύθιος Δήλιος, εἶτα ἐπὶ πᾶσι Πυθαγόρας. sch. c

ἤδη τέρπῃ σύ.

ἠδημόνουν.

ἥδιον τὸ γλυκύ. ἡδίων δὲ ὁ ἡδύτερος ἀρσενικῶς διὰ τοῦ ω μεγάλου, ἡδίονος, τὸ συγκριτικόν.

ἥδιςα ἡδέως.

ἠδολέσχησα διελάλουν ἐμαυτῷ προσδιαλεγόμενος. Theodoret. in Ps. 76 3.

ἥδομαί σοι, δοτικῇ, εὐφραίνομαί σοι. καὶ ἥδομεν εὐφραίνομεν.

ἡδόμενος ἀρεσκόμενος.

ἡδονή ἡ ἀκάθαρτος καὶ ἡ φυσικὴ κατάςασις, ἣν Ἐπίκουρος ἐδογμάτιζε, τέλος παντὸς πράγματος τὴν ἡδονὴν εἶναι τιθέμενος. τουτέςι τὸ πρώτιςον ἀγαθόν, ὅ ἐςι θεός. a

ἡδονὴ δέ ἐςι λεία κίνησις, πόνος δὲ τραχεῖα κίνησις. καὶ τὴν μὲν εὐδοκητὴν πᾶσι ζῴοις, τὸν δὲ ἀποκρουςικόν. ἡδονὴν μέντοι τὴν τοῦ σώματος, ἣν καὶ τέλος εἶναι, ἀ τὴν καταςηματικὴν ἡδονὴν τὴν ἐπ' ἀναιρέσει ἀλγηδόνων καὶ οἷον ἀοχλησίαν, τέλος εἶναί φασί. διαφέρει δὲ τέλος εὐδαιμονίας· τέλος μὲν γὰρ εἶναι τὴν κατὰ μέρος ἡδονήν, εὐδαιμονίαν δὲ τὸ ἐκ τῶν μερικῶν ἡδονῶν σύςημα, αἷς συναριθμοῦνται καὶ αἱ παρῳχηκυῖαι καὶ αἱ μέλλουσαι. εἶναί τε τὴν μερικὴν ἡδονὴν δι' αὐτὴν αἱρετήν, τὴν δὲ εὐδαιμονίαν οὐ δι' b

αὐτὴν ἀλλὰ διὰ τὰς κατὰ μέρος ἡδονάς. Diog. L. 2 86.

c ἡδονὴ δὲ ἐϛὶν ἄλογος ἔπαρσις ἐφ' αἱρετῷ δοκοῦντι ὑπάρχειν, ὑφ' ἣν τάττεται κήλησις ἐπιχαιρεκακία τέρψις διάχυσις. κήλησις μὲν οὖν ἐϛὶν ἡδονὴ δι' ὤτων κατακηλοῦσα, ἐπιχαιρεκακία δὲ ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς, τέρψις δὲ οἷον τρέψις, προτροπή τις ψυχῆς ἐπὶ τὸ ἀνειμένον, διάχυσις δὲ ἀνάλυσις ἀρετῆς. Diog. L. 7 114.

d ὅροι ἡδονῆς, ά λεία κίνησις, β' ἡ γένεσις εἰς φύσιν αἰσθητήν, γ' ἡ ἄλογος διάχυσις, δ' ἡ ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιϛος, έ ἡ τὸ παρακολουθοῦν τέλος ταῖς τελευταίαις ἐνεργείαις. ἐκ τούτων τῶν ὅρων ἰσχύει τις ἀνασκευάζειν καὶ κατασκευάζειν ὅτι ἀγαθὸν ἡ ἡδονὴ καὶ ὅτι μή. Alex. Aphrod. in Top. p. 88.

ἔϛι δὲ παρὰ ἑκατέρου μέρους τῆς ἀντιφάσεως συλλογισμὸς ἔνδοξος. ὅτι μὲν ἀγαθὸν ἡ ἡδονή, δείκνυσιν ὁ συλλογισμὸς ἔτος· οὗ πάντα ἐφίεται ἀγαθόν, τῆς ἡδονῆς δὲ πάντα ἐφίεται, ἡ ἡδονὴ ἄρα ἀγαθόν. τὸ δὲ μὴ εἶναι αὐτὴν ἀγαθόν ὁ τοιοῦτος· τὸ ἀγαθὸν ἀγαθοὺς ποιεῖ, ἡ ἡδονὴ ἀγαθὲς ἐ ποιεῖ, οὐκ ἄρα ἡ ἡδονὴ ἀγαθόν. ἡ ἡδονὴ τοίνυν ἐϛὶ κίνησις λεία· ἐνέργεια δὲ ἀτελὴς πᾶσα κίνησις· μηδὲν δὲ ἀγαθὸν ἀτελές· ἡ ἡδονὴ ἄρα οὐκ ἀγαθόν.

... ἐκ τῶν Πλωτίνε (1 1) "ἡδοναί λῦπαι, θάρρη φόβοι, ἐπιθυμίαι ἀποϛροφαὶ καὶ τὸ ἀλγεῖν, τίνος ἂν εἶεν; ἢ γὰρ ψυχῆς, ἢ χρωμένης ψυχῆς σώματι, ἢ τρίτου τινὸς ἐξ ἀμφοῖν. διχῶς δὲ καὶ τοῦτο· ἢ γὰρ τὸ μῖγμα ἢ ἄλλο τι ἐκ τοῦ μίγματος."

ἡδονῆς ἀκρότης τὸ πρὸς λύπην ἄμικτον.

a ἦ δ' ὅς. οἱ μὲν περὶ Ἐρατοσθένην ἀντὶ τοῦ ἔφη δὲ ὅς. διὸ καὶ δασύνεσι τὴν ἐσχάτην· ἐντετάχθαι γὰρ ἄρθρον τὸ ὅς, καὶ ἦ ἀντὶ τοῦ ἔφη· (Plat. RP p. 327) "ἀλλὰ περιμενοῦμεν, ἦ δ' ὃς ὁ Γλαύκων." καὶ "ἦν δ' ἐγώ" ἀντὶ τοῦ ἔφην δὲ ἐγώ. παρ' ὃ δὴ καὶ Ἕρμιππος ἐν Ἀθηνᾶς γοναῖς ἠσίν ἀντὶ τοῦ φησίν· "ὁ Ζεὺς δίδωμι Παλλάς, ἠσί, τοὔνομα." Ἀρίϛαρχος δὲ τὸ μὲν ἦ δ' ὅς ἀντὶ τοῦ ἔφη δὲ ὅς, τὸ δὲ ἦν δὲ ἐγώ ἔφην δὲ ἐγώ, τὸ δὲ ἦ τῶν ἀρχαίων ἔφη εἶναι λεξειδίων, Ὅμηρον δ' οὐ κατὰ πάντα χρῆσθαι αὐτῷ, οὐδὲ σχηματίζειν ἀπ' αὐτοῦ τὸ ἀνάλογον, μόνως δ' ὅταν λόγε τελευτὴν σημαίνῃ· (Α 528) "ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι" καὶ (χ 8) "ἦ, καὶ ἐπ' Ἀντινόῳ." τοὺς δὲ μεθ' Ὅμηρον ἀδιαφόρως αὐτὸ τάσσειν.

ἦ δ' ὅς ἀντὶ τοῦ ἔφη δὲ ὅς. τέτῳ χρῶν- b
ται καὶ ἐπὶ πλήθους, καὶ ἐπὶ θηλυκοῦ καὶ ἀρσενικοῦ.

ἦδος ὄφελος. ψιλοῦται. Ὅμηρος (Σ 80) "ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλετο;"

ἡδραίωται.

ἥδρασεν (Ps. 95 10) ἐϛήριξεν. καὶ ἡδρασμένος βέβαιος, πάγιος.

ἡδρυμένος ηὐξημένος.

ἡδύγαιον τὸ καλὴν ἔχον γῆν.

ἡδυεπής (Hom. Α 248) ἡδυλόγος.

Ἡδύλειον ὄρος, ὅπερ ἐϛὶν ἐν Βοιωτίᾳ. Harp.

ἡδύνομαι δοτικῇ.

ἡδύοσμος εἶδος βοτάνης.

ἡδυπαθής φιλήδονος, πάθει χαίρων. καὶ ἡδυπάθεια ἡ πορνεία.

ἡδύς εὐήθης. ἐκάλουν δὲ οὕτω καὶ τὲς ὑπομώρους.

ἡδύσματα βρώματα, ἢ εὐοσμία.

Ἠδωνὰ ἱμάτια Θρᾳκικά.

Ἠδωνίς Ἠδωνίδος. χώρα οὕτω λέγεται. καὶ Ἠδωνοί ὄνομα ἔθνους.

ἤε ἐπορεύετο.

ἠέ, βαρυτόνως, διαζευκτικὸς σύνδεσμος· (Hom. Θ 507) "ἠὲ διατμῆξαι κοῖλον δόρυ." περισπωμένως δὲ ἀπορηματικὸς περισπᾶται· "ἦ μαχεούμενον ἠὲ καὶ οὐχί."

ἤει ἐπορεύετο.

ἤειρεν ἔδησεν.

ἠέλιος ὁ ἥλιος. καὶ Ἠελιώτης.

ἤεμεν (immo ᾔσμεν) ᾔδειμεν.

ἦεν ὑπῆρχεν.

ἢ ἐν ὁδῷ καθελών ἀντὶ τῦ ἐνεχθέντα ἑλών, τουτέϛιν ἔν τινι ἐνέδρᾳ καταβαλών. Δημοσθένης ἐν τῷ κατὰ Ἀριϛοκράτες (53). Harp.

ἠέρα (Hom. Θ 50) ἀορασίαν.

ἠερέθονται (Hom. Γ 108) ἀπαιωρῶνται.

ἠέριαι (Hom. Γ 7). καὶ ἠερίη (Α 497) ἑωθινή. καὶ ἠερινός ὀρθρινός.

Ἠερίβοια (Hom. Ε 389) ὄνομα κύριον.

ἠερόεις ὁ σκοτεινὸς ᾅδης.

ἠερόεν. καὶ ἠεροειδές (Hom. Ε 770) σκοτεινόν.

ἠέρος ὄγμοι αἱ ὁδοί, οἱ τόποι. λέγεται

δὲ θηλυκῶς ἐν ἐπιγράμματι ⟨AP 6 183⟩ "καὶ διὰ μέσσης ἠέρος εὔαγρον τοῖσδε δίδου κάματον."

ἠεροφοῖτις ⟨Hom. *Τ* 87⟩ ἡ ἀοράτως ἐρχομένη κατὰ τὰ ἔργα.

ἤεσαν ἐπορεύοντο.

Ἠετίων ὄνομα κύριον.

Ἠετιώνεια. οὕτως ἐκαλεῖτο ἡ ἑτέρα τῶ Πειραιέως ἄκρα, ἀπὸ τοῦ κατακτησαμένου τὴν γῆν Ἠετίωνος ⟨Harp.⟩. καὶ Ἠετιώνειος δίαιτα ἡ τοῦ Ἠετίωνος.

ἠθάδων συνήθων· "χειμέριον νύκτ' ἐτήρησαν, ἐν ᾗ οὐδ' ἄν τις αὐτῶν τῶν βαρβάρων τῶν ἠθάδων ἄνευ τινὸς ἐξαισίου ἀνάγκης ἔξω τῶν σκηνωμάτων ἐγένετο." cf. v. σκηνημάτων.

ἠθαλωμένος ὁ κεκαυμένος.

Ἡθαμά ὄνομα τόπου. ἑβραϊϛὶ δὲ λέγεται αἷμα.

ἤθεα παρὰ Ἡροδότῳ ⟨1 156⟩ οἱ τόποι ἐν οἷς ἀναϛρέφονται.

ἠθεῖε. τοῦτο οὔτε ψιλῶς ἐπὶ ἀδελφοῦ φέρεται οὔτε πρεσβύτου, ἀλλ' ἐπὶ σεπτικῇ προσηγορίᾳ, καθ' ἣν νέος πρεσβυτέρῳ ἀδελφῷ προσφωνεῖ. τὸ δὲ πλῆρες ἠθεῖε. καὶ θηλυκὸν ἠθεία ⟨Hom. ψ 94⟩.

ᾗ θέμις ὡς νόμος, ὡς προσῆκον.

ἠθλοθέτει τοὺς ἀγῶνας διετίθει· "ἕως ὁ μέγιϛος ἑλλανοδίκης Γαϊνᾶς τὸν Ῥωμαϊκὸν ὄλεθρον ἠθλοθέτει," τουτέϛι τὸν ἀγῶνα διετίθει. cf. v. ἑλλανοδίκαι.

ἠθμός ὁ διυλιϛήρ· ⟨Artemid. 5 5⟩ "καὶ μέντοι καὶ διακριθὲν πρότερον ὑπὸ τοῦ λεγομένου ἠθμοῦ."

ἠθολόγος θεατριϛής.

ἠθοποιία μίμησις ἤθους ὑποκειμένου προσώπου.

ἤια ὑπῆρχον.

ἠίθεος ἄφθαρτος πρὸς γυναῖκας· ἐν ἐπιγράμματι ⟨AP 5 297⟩ "ἠιθέοις οὐκ ἔϛι τόσος πόνος ὁππόσος ἡμῖν ταῖς ἀταλοψύχοις." καὶ ὁ ἴσος τοῖς θεοῖς.

ἤικτο ⟨Hom. δ 796⟩ ὡμοίωτο.

ἠιόεις ὁ αἰγιαλώδης.

ἠιόεντι ⟨Hom. *Ε* 36⟩ καλὸν αἰγιαλὸν ἔχοντι.

ἤιον τὸ εἰς ὁδὸν βρῶμα.

ἠιόνα αἰγιαλόν, ὄχθην.

Ἠιονεύς ⟨Hom. *Η* 11⟩ ὄνομα κύριον.

ἠίσκομεν ⟨Hom. *Φ* 332⟩ ἀπεικάζομεν.

ἠίϛωσας ἠφάνισας· ⟨S Ai. 515⟩ "σὺ γάρ μοι πατρίδ' ἠίϛωσας δορί."

ἠίχθη ⟨Hom. *Γ* 368⟩ ὥρμησεν.

ἠιών ὁ αἰγιαλός.

ἠίων ἀχύρων· Ὅμηρος ⟨ε 368⟩ "ὡς δ' ἄνεμος ζαὴς ἠίων θημῶνα τινάξει." καὶ Βάβριος ⟨146⟩ "ὅπω δὲ καιρός ἐϛιν ἤια λύειν."

ἦκα ἡσύχως.

ἠκαιρεῖσθε ⟨ad Philipp. 4 10⟩ ἐκωλύεσθε, καιρὸν οὐκ εἴχετε.

ἤκαλλον ἐθώπευον, ἀπὸ τοῦ αἰκάλλω θέματος.

ἡ κάμηλος ψωριῶσα πολλῶν ὄνων ἀνατίθεται φορτία" ⟨Synes. ep. 113⟩ ἐπὶ τῶν γηρασάντων ἀνδρείων, ἢ ἐπὶ τῶν δυϛυχησάντων μέν, πάλιν δὲ δυναμένων.

ἤκαχες ἐλύπησας. ἐν ἐπιγράμματι "ὢ πόσον ἠιθέων νόον ἤκαχες. ἀλλ' ἴδε, λήθην ναίεις ἀγλαΐην ἐν χθονὶ κατθεμένη" ⟨AP 7 220⟩. περὶ Λαΐδος τῆς ἑταίρας.

ἤκαχον· ⟨AP 7 1⟩ "ἡρώων τὸν ἀοιδὸν Ἴῳ ἔνι παῖδες Ὅμηρον ἤκαχον, ἐκ μουσέων γρῖφον ὑφηνάμενοι," ἀντὶ τοῦ ἐλύπησαν. cf. v. γρῖφος.

ἤκει ἀντὶ τοῦ ἐῴκει, ὡμοίωτο· ⟨A Av. 1287⟩ "ὄρτυξ καλεῖται· καὶ γὰρ ἤκει ὄρτυγι." ἀπὸ τοῦ εἴκω τὸ ὁμοιῶ.

ἥκεις· ⟨A Thesm. 716⟩ "ἀλλ' οὖν ἥκεις γ' ὅθεν ἥκεις, φαύλως τ' ἀποδρὰς οὐ λέξεις οἷον δράσας διέδυς ἔργον, λήψῃ δὲ κακόν." ἥκεις, φησίν, εἰς τὰς χεῖρας ἡμῶν, ὅθεν οὐ φεύξῃ.

ἧκεν ἐφῆκεν.

ἠκέσατο ⟨Hom. *Ε* 402⟩ ἰάσατο, ἐθεράπευσεν.

ἠκέϛης ⟨Hom. *Ζ* 94⟩ ὁ ἀδάμαϛος.

Ἠκεϛίδης ὄνομα κύριον.

Ἥκεϛος.

ἠκή ἡ ὀξύτης τοῦ σιδήρου.

ἠκηδίασεν Ps. 142 4.

ἠκισμένους ἠφανισμένους.

ἥκιϛα οὐδαμῶς, οὐχ ἧττον. καὶ Λιβάνιός φησιν "εἴ τινα ἄλλον τρόπον, ὃν ἥκιϛα ὤφθη μετελθὼν ὁ ἐπὶ τῇ φιλίᾳ ἔμπορος." "ἥκιϛα δ' ἄν τις αὐτὸν ἐθεάσατο παρεκβαίνοντα τὸ ἀληθὲς ἔργῳ ἢ λόγῳ ποτέ" ⟨cf. v. εἴρων⟩. "ὁ δὲ Δομετιανὸς ὕπατον αὐτὸν ἀποφήνας ὡς ἥκιϛα ἐπιφανῆ πιϛεύει τὴν ϛρατιὰν πρὸς Κελτούς." καὶ αὖθις "τὰ τῆς ἐμπορίας ἐπικερδῆ ἥκιϛα αὐτῷ ἦν." Ξενοφάνης ἔφη ⟨Diog. L. 9 19⟩ "τοῖς τυράννοις ἐντυγχά-

νειν ὡς ἥκιϛα ἢ ὡς ἥδιϛα." καὶ αὖθις "ἥκιστα μελῆσαι αὐτοῖς τῆς ἀληθείας" ἀντὶ τοῦ οὐδαμῶς. Ἰάμβλιχος "ἀνὴρ ἐπιϛάμενος ἥκιϛα ψεύδεσθαι, φίλος δέ, εἴπερ τις ἄλλος, ἀληθείας." καὶ αὖθις "ἥτις δεινὸν ἡγησαμένη καὶ φορητὸν ἥκιϛα ἑαυτὴν διέφθειρε." καὶ αὖθις "τὸ δαιμόνιον πάντα ἐφορᾷ, καὶ ἥκιστα βούλεται ταῖς τιμωρίαις ἀπαραιτήτους καὶ ἀμειλίκτους εἶναι." οὐχ ἥκιϛα δὲ ἀντὶ τοῦ πάνυ, μάλιϛα.

ἥκιϛος ἐλάχιϛος, παρὰ τὸ ἦκα, ὃ ἔϛιν ἡσυχῇ. καταϛρέφει δὲ εἰς τὸ ἐλάχιϛος. καὶ ψιλῶς προενεκτέον, οὐχ ὡς παρὰ τοῖς Ἀττικοῖς δασύνεται. sch. Ven. ψ 531.

ἤκμαζεν ἔρρωτο· ⟨Dio Cass. 68 6⟩ "ὁ δὲ Τραϊανὸς τῇ ψυχῇ ἤκμαζεν, ὥϛε μήτε ὑπὸ νεότητος θρασύνεσθαι μήτε ὑπὸ γήρως ἀμβλύνεσθαι."

ἥκομεν παρεγενόμεθα.

ἠκόνα τὴν προθυμίαν.

ἠκούσης ἐχούσης, παρὰ Ἡροδότῳ ⟨1 30⟩.

ἠκουσιάσθησαν ἑκουσίως ἠθέλησαν ποιῆσαί τι.

ἠκροβολίζοντο.

ἠκρωτηριασμένος. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος ⟨296⟩ "ἠκρωτηριασμένοι τὰς αὐτῶν ἕκαϛοι πατρίδας" ἀντὶ τοῦ λελυμασμένοι· οἱ γὰρ λυμαινόμενοί τισιν εἰώθασι περικόπτειν αὐτῶν τὰ ἄκρα. τὸ μέντοι ἠκρωτηριασμένοι ἀντὶ τοῦ ἠκρωτηριακότες. Harp.

ἦκτο ἤγετο, ἐκ τοῦ ἄγω τὸ φέρω.

ἠκύρουν ἀβέβαια ἐποίουν.

ἡ κύων ἐν τῇ φάτνῃ, ἐπὶ τῶν μήτε αὐτῶν χρωμένων μήτε ἄλλους ἐώντων, παρ' ὅσον αὕτη κριθὴν οὐκ ἐσθίει καὶ τὸν ἵππον κωλύει.

a ἥκω ἦλθον.

b ἥκω τοῦ κατέρχομαι διαφέρει. ἐλθεῖν μὲν γὰρ εἰς τὴν πόλιν ἐϛὶν ὅταν μετῇ τινὶ τῆς πατρίδος· ὅταν δὲ φυγὰς ἔλθῃ, κατέρχεται. Ἀριϛοφάνης Βατράχοις ⟨1163⟩ "εἰς γῆν μὲν ἐλθεῖν ἔσθ' ὅτῳ μετῇ πάτρας· χωρὶς γὰρ ἄλλης συμφορᾶς ἐλήλυθε· φεύγων δ' ἀνὴρ ἥκει τε καὶ κατέρχεται."

c ἥκω τὸ ἔρχομαι διὰ τοῦ η, ἵκομαι δὲ παθητικὸν διὰ τοῦ ι.

ἠλαζονεύετο ἀντὶ τοῦ ἐψεύδετο· Ἀριϛοφάνης Βατράχοις ⟨279⟩ "ἠλαζονεύεθ', ἵνα φοβηθείην ἐγώ, εἰδώς με μάχιμον ὄντα, φιλοτιμούμενος."

ἠλακάτη ἐργαλεῖον γυναικός· ⟨AP 6 174⟩ "ἐργάτιν εὐκλώϛου νήματος ἠλακάταν." καὶ ἠλάκατα ⟨Hom. ζ 53, ρ 97⟩ λεπτὰ νήματα.

ἤλαλκον ἀπεσόβουν.

ἤλασεν ἔσκαψεν ⟨Hom. I 349⟩, ἔπληξεν.

ἠλάσκοντο ἐπλανῶντο.

ἠλάϛρεον ⟨Hom. O 21?⟩ ἐδεινοπάθουν.

ἥλατο ἐπήδησεν, ἠλᾶτο δὲ ἐπλανᾶτο· "καὶ ὃ μὲν τῶν νόμων ἡττώμενος ἠλᾶτο."

ἤλαυνεν· ⟨S El. 734⟩ "ἤλαυνε δ' ἔσχατος Ὀρέϛης τῷ τέλει πίϛιν φέρων," οἷον πιϛεύων ὅτι ἐπὶ τῷ τέλει τοῦ δρόμου παρελεύσεται.

ἤλεγχον ἐφανεροποίουν. ἢ ἀνέκρινον, ὡς Ξενοφῶν ⟨Anab. 3 5 14⟩ "οἱ δὲ τοὺς αἰχμαλώτους συναγαγόντες ἤλεγχον τὴν κύκλῳ πᾶσαν χώραν, τίς ἑκάϛη εἴη."

Ἠλεί ἱερεὺς Ἰσραήλ. υἱοὶ αὐτοῦ Ὀφνεὶ καὶ Φινεές, οὓς ἐπὶ τῇ παροινίᾳ καὶ τῇ ἀταξίᾳ τῇ ἐπὶ τῶν θυσιῶν μετῆλθεν ἡ θεία δίκη. οἱ μὲν γὰρ ἐν πολέμῳ δεινῶς ἀνῃρέθησαν, ὃ δὲ τῆς θείας ἀκούσας φωνῆς λεγούσης ⟨1 Regg. 2 30⟩ "εἶπα, ὁ οἶκός σου διελεύσεται ἐνώπιόν μου ἕως αἰῶνος· καὶ νῦν οὐχ οὕτως, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω, καὶ οἱ ἐξουθενοῦντές με ἀτιμασθήσονται, καὶ ἐξολοθρεύσω τὸ σπέρμα σου ἐκ τοῦ θυσιαϛηρίου μου," καὶ πάλιν ⟨ib. 3 13⟩ "ἰδοὺ ἐγὼ ἐκδικῶ τὸν οἶκον Ἠλεὶ ἕως αἰῶνος ἐν ἀδικίαις υἱῶν αὐτοῦ."

Ἠλεία χώρα.

Ἠλεῖος ὁ πολίτης, καὶ τὸ ἐθνικόν.

Ἠλέκτρα ὄνομα κύριον. καὶ πύλαι Θηβῶν.

ἤλεκτρα. ἰδίως τὰ ταῖς κλίναις ἐπιβαλλόμενα ἐλεφάντινα οὕτως ἐκάλουν ἤλεκτρα· Ἀριϛοφάνης ⟨Eq. 529⟩ "ἐκπιπτουσῶν τῶν ἠλέκτρων καὶ τοῦ τόνου οὐκέτ' ἐνόντος." ἀκολούθως μετὰ τὴν κλίνην ἐμνημόνευσε καὶ τοῦ τόνου. τόνος δὲ τῆς κλίνης τὰ σχοινία, τροπικῶς δὲ δηλοῖ τὴν τῆς φωνῆς τάσιν. αἱ γὰρ ἀρχαῖαι κλῖναι τοὺς πόδας εἶχον ὠφθαλμισμένους ἄνθραξι καὶ ἠλέκτροις ὥσπερ νῦν ἀργύρῳ ἢ καττιτέρῳ. ἁρμονίας δὲ τὰ συμπησσόμενα τῶν κραββάτων μέρη. ἐπέμεινε δὲ τῇ τροπῇ.

ἤλεκτρον ἀλλότυπον χρυσίον, μεμιγμένον ὑέλῳ καὶ λιθείᾳ, οἵας ἐϛὶ κατασκευῆς ἡ τῆς ἁγίας Σοφίας τράπεζα.

Ἠλεκτρυών ὄνομα κύριον. καὶ Ἠλεκτρυώνη ὄνομα κύριον.

ἠλέκτωρ ὁ ἥλιος. ἥλιος δέ ἐςιν ἄςρον ἡμεροφανές. λέγεται δὲ ἠλέκτωρ ὅτι ἄληκτός ἐςι καὶ ἀκάμας. ἀλλ' ἡ ἐτυμότης ὅλη σφαιρική (an σφαλερά). ἔνιοι δὲ ἀπὸ τῆς λαμπρότητος τοῦ ἠλέκτρου, ἢ ὅτι ἐγείρει ἡμᾶς ἀπὸ τοῦ ὕπνου. ἀπὸ τοῦ ἀλέκτορος· πολυόχευτον γὰρ τὸ ζῷον, ὅτι ἐκ τῶν λέκτρων ἡμᾶς ἐγείρει· ⟨Hom. β 2⟩ "ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς, ὤρνυτ' ἄρ' ἐξ εὐνῆφιν."

ἠλέματος ὁ μάταιος.

ἠλεός ⟨Hom. ξ 464⟩ ὁ μάταιος καὶ μωρός.

ἠλεύατο ⟨Hom. N 184⟩ ἐξέκλινεν.

ἠλήλατο ⟨Hom. E 400⟩ ἐνεπάγη.

ἠληλίμμην ἐχριόμην.

ἠλί ἠλί, λιμᾶ σαβαχθανί ⟨Matth. 27 46⟩ θεέ μου, θεέ μου.

ἡλιαία τὸ μέγα δικαςήριον ἐν τῇ Ἀττικῇ. καὶ οἱ δικαςαὶ ἡλιαςαὶ ἐκαλοῦντο.

ἡλιαία καὶ ἡλιάζεσθαι. βουλὴ συνεςῶσα ἐξ ἀνδρῶν χιλίων. ἐλέγετο δὲ καὶ ὁ τόπος οὕτως ἐν ᾧ συνηθροίζοντο. ἡλιάζεσθαι δὲ καὶ ἡλίασίς ἐστι τὸ ἐν ἡλιαίᾳ δικάζειν.

ἡλιαία καὶ ἡλίασις. ἡλιαία μέν ἐςι τὸ μέγιςον δικαςήριον Ἀθήνησιν, ἐν ᾧ τὰ δημόσια τῶν πραγμάτων ἐκρίνετο, χιλίων δικαςῶν ἢ χιλίων καὶ πεντακοσίων συνιόντων. συνίασι δὲ οἱ μὲν χίλιοι ἐκ δυοῖν δικαςηρίων, οἱ δὲ ‚αφ' ἐκ τριῶν. Harp.

Ἠλίας ὁ προφήτης ἐπὶ Ἀχαὰβ βασιλέως ἦν, ὁ δὲ υἱὸς Ἀχαὰβ Ὀχοζίας ἀσεβέςατος ἦν· ὃς ἐχρήσατο μυίᾳ εἰδώλῳ τῷ ἐν Ἀκκάρων. ἐντυχὼν δ' αὐτοῖς Ἠλίας ὁ προφήτης ὠνείδισε τὴν εἰδωλολατρίαν. καὶ μεταπεμφθεὶς διὰ τοῦ πεντηκοντάρχου διέφθειρεν αὐτὸν οὐρανίῳ πυρί, ἅμα ν' τοῖς σὺν αὐτῷ· καὶ δεύτερον ὁμοίως. ὁ δὲ τρίτος γονυπετῶν ἐσώθη, καὶ παρέλαβε τὸν προφήτην.

ἡλίασις ἡ τοῦ ἡλίου θέρμη.

ἡλιαςαί οἱ ἐν ἡλιαίᾳ δικαςαί· ἡλιαία δὲ τὸ μέγιςον δικαςήριον Ἀθήνησιν. οἵτινες ὑπὸ τῶν δημαγωγῶν ἐτρέφοντο, τριώβολον λαμβάνοντες μισθὸν δικαςικὸν μετὰ τὸ κρῖναι. ὡς δημαγωγὸς οὖν ἐπικαλεῖ οὓς ἔτρεφε. συγγενεῖς δὲ αὐτοὺς εἶπε τȣ̃ τριωβόλȣ, οἷον προσῳκειωμένοι καὶ προσπεφυκότες τῷ τριωβόλῳ. λέγει γὰρ ⟨A Eq. 255⟩ "ὦ γέροντες ἡλιαςαί, φράτορες τριωβόλου."

ἡλιαςής δικαςής, ἀπὸ μεγάλου δικαςηρίου τῆς ἡλιαίας. οὕτω δὲ ἐκλήθη διὰ τὸ ἐν ὑπαίθρῳ εἶναι τόπῳ καὶ ὑπὸ τοῦ ἡλίου βάλλεσθαι. Ἀριςοφάνης ⟨Av. 109⟩ "μάλα θάτερον." πέπονθε δὲ τοῦτο, ἀντὶ τȣ̃ ȣ̉κ ἀλλὰ θατέρου τρόπου, τουτέστι μισόδικος· εἶπε γὰρ ἀπηλιαςής. ἀντὶ τοῦ μισόδικος· οἱ γὰρ ἄγροικοι οὐ φιλοδικαςαί. καὶ φιληλιαςής ὁ φιλόδικος· ⟨Vesp. 88⟩ "φιληλιαςής ἐςιν ὡς οὐδεὶς ἀνήρ."

ὅτι πάντες Ἀθηναῖοι δημοσίᾳ ὤμνυον τὸ παλαιὸν τὸν ὅρκον τὸν ἡλιαςικόν.

ἠλίβατα.

ἠλιθιάζω ἀναισθητῶ, μωραίνω, προσ- a
ποιοῦμαι ἠλίθιος εἶναι· ἀναίσθητοι γὰρ οἱ λίθοι, ἀφ' οὗ καὶ τὸ ἠλίθιος. ἀντὶ τοῦ ἀνοηταίνω. καὶ παροιμία "ἠλιθιώτερος τȣ̃ Πραξίλλης Ἀδώνιδος" ἐπὶ τῶν ἀναισθήτων. sch. A Eq. 1121.

ἠλιθιάζω ἑκουσίως μωρὸν ὑποκρίνομαι· b
⟨A Eq. 1126⟩ "νοῦς ȣ̉κ ἔνι ταῖς κόμαις ὑμῶν, ὅτε μ' ȣ̉ φρονεῖν νομίζετ'· ἐγὼ δ' ἑκὼν ταῦτ' ἠλιθιάζω."

ἠλίθιος ἄφρων, σκληρός, ἢ ἀναίσθητος· ⟨Procop. Arc. 8⟩ "ἠλίθιός τε γὰρ ὑπερφυῶς ἦν καὶ νωθής, ὄνῳ ἐμφερὴς μάλιςα, καὶ οἷος τῷ τὸν χαλινὸν ἕλκοντι πείθεσθαι, συχνά οἱ σειομένων τῶν ὤτων." ⟨X Anab. 2 6 22⟩ "τὸ δὲ ἁπλοῦν καὶ ἀληθὲς ἐνομίζετο αὐτῷ ἠλίθιον εἶναι."

ἠλιθίκεισαν.

ἥλικες. οὕτως ἐλέγοντο τὸ Ἀντιόχȣ τοῦ ἐπιφανοῦς Μακεδόνων ςῖφος, ὑψηλοὶ πάντες, ὀλίγον ὑπὲρ ἀντίπαιδας, τὸν Μακεδονικὸν τρόπον ὡπλισμένοι τε καὶ πεπαιδευμένοι, ὅθεν καὶ τὴν ἐπίκλησιν εἶχον. Ioseph. B. I. 5 11 3.

ἡλικία τῆς πόλεως ἀντὶ τȣ̃ οἱ ἐν ἡλικίᾳ, οἱ νέοι. οὕτω Λυσίας καὶ Δημοσθένης ἐν Φιλιππικοῖς ⟨1 28 ?⟩. Harp.

ἡλικιῶται συμπράκτορες.

ἡλικιώτης τῆς αὐτῆς μετεσχηκὼς ἡλικίας. λέγεται δὲ καὶ θηλυκὸν διὰ τȣ̃ ι. "Ἰσιδώρῳ τῷ φιλοσόφῳ ἡλικιώτης, ἔτη ιή γεγονώς" ⟨Damascius⟩.

ἡλίκον μέγα, πηλίκον· ⟨Polyb. 3 94⟩ "ὅτι Φάβιος ἐνετέλλετο μὴ τοιαύτην ποιεῖσθαι σπουδὴν ὑπὲρ τοῦ βλάψαι τοὺς πολεμίους ἡλίκην ὑπὲρ τȣ̃ μηδὲν αὐτȣ̀ς παθεῖν δεινόν."

ἠλινδημένον ἀντὶ τοῦ ἀνεςραμμένον Δείναρχος ἐν τῷ κατὰ Φορμισίȣ. ὅπερ Ἰσοκράτης καλινδεῖσθαι λέγει.

ἠλινδῆσθαι κεκυλῖσθαι.

ἧλιξ ἥλικα τέρπει. ⟨Damasc. Phot. p. 338 b⟩ "μόνος ἀνθρώπων ὧν ἀκοῇ ἴσμεν τὴν παλαιὰν παροιμίαν ἔργῳ διήλεγξεν· οὐ γὰρ ἐκεῖνόν γε ἧλιξ ἔτερπεν ἥλικα ὄντα, ὁ νέος τὸν νέον, ἀλλά τινι λόγῳ ἑτέρῳ κατακολουθοῦσα ἡ φύσις τοῖς ὁμοίοις αὐτὸν συνῆπτε κατὰ τὸ ὅμοιον οὐ τῶν ἐτῶν τȣ̃ σώματος ἀλλὰ τῶν τρόπων τῆς ψυχῆς."

ἡλιομανής ⟨A Av. 1092⟩ ὁ τέττιξ· ἐπιμαίνεται γὰρ τῷ ἡλίῳ.

ἥλιον κρύπτεσθαι, ἄςρα δείκνυσθαι. ταῦτα οἱ μὲν ῥήτορες καλοῦσι γοργά, γραμματικοὶ δὲ ὁμοιοκατάληκτα, φιλόσοφοι δὲ πάρισα.

a Ἥλιος. μετὰ τὴν τελευτὴν Ἡφαίσȣ τοῦ βασιλέως Αἰγύπτου Ἥλιος ὁ υἱὸς αὐτȣ̃ τὴν ἀρχὴν διεδέξατο, ζήσας ἡμέρας ͵δυοζ', ὡς γίνεσθαι ἔτη ιβ', μῆνας γ', ἡμέρας ἑ. οἱ μὲν γὰρ τὰς ἡμέρας ἐνιαυτοὺς ἐψήφιζον, οἱ δὲ τὰς περιόδους τῆς σελήνης, ἕτεροι δὲ τὰς δ' καιρούς· οἱ γὰρ μετὰ ταῦτα δυναςεύσαντες καὶ ὑποτελεῖς τὰς χώρας ποιήσαντες ἀπὸ τῆς αὐξήσεως τῶν καρπῶν τοὺς χρόνους διέκριναν, καὶ ἐνιαυτοὺς κυρίως ἐκάλεσαν. ὁ τοίνυν Ἥλιος τὴν τοῦ πατρὸς φυλάττων νομοθεσίαν, εὑρηκὼς μοιχευομένην γυναῖκα ταύτην ἐθριάμβευσεν. ὅπερ μετέβαλε ποιητικῶς Ὅμηρος, ὅτι ὁ Ἥλιος τὴν Ἀφροδίτην ἔδειξε μιγνυμένην τῷ Ἄρει, Ἀφροδίτην μὲν τὴν ἐπιθυμίαν καλέσας, Ἄρεα δὲ τὸν μετ' αὐτῆς καταληφθέντα ςρατιώτην. cf. chron. Alex. et Malal. p. 26.

b ἥλιος. ἡλίους τὰ τέκνα ὑποκοριζόμενοί φασιν οἱ γονεῖς. ἥλιον καὶ τὴν ἐλευθερίαν καλοῦσιν. Artemid. 2 36.

c ἥλιος ἀπὸ τοῦ ἀολλίζεσθαι ἡμᾶς ἐν ταῖς ἡμέραις· καὶ ἐν Ἀθήναις δὲ δικαςήριον ἦν ἡλιαία, ἀπὸ τῆς συναγωγῆς τῶν ἀνθρώπων. οἱ δὲ ἀπὸ τοῦ ἀλεαίνειν, ὅ ἐςι θερμαίνειν καὶ διαχεῖν. τινὲς δὲ ἀπὸ τῆς γινομένης διαπνεύσεως ἐκ τοῦ ςόματος πρὸς τοὺς δακτύλους, ὃ λέγεται αὔειν καὶ ἄζειν κατὰ μίμησιν τῆς φωνῆς τῆς θάλψεως τοῦ ςόματος. Ἐμπεδοκλῆς "ἁλισθεὶς μέγαν οὐρανὸν ἀμφιπολεύει."

d ἥλιος ἀπὸ τῆς ἁλός γενικῆς.

e ἥλιος δασύνεται, Ἠλίας δὲ ψιλȣ̃ται καὶ κλίνεται Ἠλιοῦ.

ἡλιοςερὴς κυνῆ ⟨S OC 313⟩ σκιαςικὴ πλατύπιλος κυνῆ, καλύπτουσα καὶ ἀφαιρουμένη τὴν ἡλίωσιν· Θεσσαλὶς δέ, διότι περισσοὶ ἦσαν οἱ Θεσσαλικοὶ πῖλοι.

ἡλιοτρόπιον ὡρολογεῖον.

Ἠλιοῦ τοῦ προφήτου, γενική.

Ἡλιούπολις, καὶ Ἡλιουπολίτης.

Ἦλις Ἤλιδος ὄνομα πόλεως.

ἠλισγήθην ἐταράχθην.

ἠλισγημένος μεμιασμένος, μεμολυσμένος, ἠρτυμένος.

ἥλισεν ἅλατι ἤλειψεν, ἥλισε δὲ συνήθροισε.

ἡλίσκοντο ἐπορθοῦντο, ἢ ἠλέγχοντο.

ἤλιτεν ⟨Hom. I 375⟩ ἥμαρτεν. καὶ ἠλίτησας.

ἠλιτενὴς πέτρα ὑψηλή.

ἠλιτοεργός ὁ τȣ̃ ἔργȣ ἀποτυχών· ⟨AP 7 210⟩ "ὣς θάνεν ἠλιτοεργός."

ἠλιτόμηνον ⟨Hom. T 118⟩ τὸ παρὰ μῆνα γεννηθέν.

ἥλκωσαι τέτρωσαι. καὶ ἡλκωμένος.

ἠλλοιωμένος μεταβληθείς, ταπεινωθείς· ⟨Polyb. 3 103⟩ "οὐδὲν ἠλλοιωμένος ὑπὸ τῶν συμβεβηκότων δυςυχημάτων, ἔτι δὲ βεβαιότερον μένων ἐπὶ τῆς ἐξ ἀρχῆς διαλήψεως."

ἠλλῴκισεν ἀλλαχοῦ ᾤκισεν.

ἠλογήθησαν ἠμελήθησαν, κατεφρονήθησαν. καὶ αὖθις "πάντων ἠλόγουν," τουτέςι κατεφρόνουν.

ἠλοήθησαν· "οἱ δὲ ἠλοήθησαν εἰς τὴν εἴσοδον καὶ κατεπατήθησαν."

ἠλόησεν· "ἡ μητέρ' ἠλόησεν," ἀντὶ τοῦ ἔτυψεν. οὕτως Ἀριςοφάνης ἐν Βατράχοις ⟨149⟩

ἠλοκίσατο ἠροτρίασεν.

ἧλος τὸ ἡλάριον.

ἠλύγη τὸ σκότος, καὶ ἠλυγισμένον τὸ ἐσκιασμένον. βαρύνεται δέ· παρὰ γὰρ τὴν λύγην. πλεονάζει τὸ η. Ἀριςοφάνης Ἀχαρνεῦσιν ⟨684⟩ "οὐδὲν ὁρῶντες εἰ μὴ τῆς δίκης τὴν ἠλύγην," ἀντὶ τοῦ τῶν ἀνθρώπων. καὶ ἐξ αὐτοῦ ἡ λυγαία.

ἡ Λύκȣ δεκάς παροιμία. Λύκος Ἀθήνησιν πρὸς τῷ δικαςηρίῳ ἥρως, μορφὴν ἔχων θηρίου. δεκὰς δὲ τὸ δεκάζεσθαι, πρὸς ὃ ἡ παροιμία. καὶ οἱ πρῶτοι δικαςαὶ πρὸς τῷ λυκοειδεῖ ἥρωι ἐκληρώθησαν. cf. vv. δεκάζεσθαι et Λύκου δεκάς.

Ἠλύσιον ἱερὸν περὶ τὸν ᾅδην· οἱ δὲ περὶ Αἴγυπτον, οἱ δὲ περὶ Λέσβον. οἱ δὲ τὸ

κεκεραυνωμένον χωρίον ἢ πεδίον· τὰ δὲ τοιαῦτά ἐϛιν ἄβατα. καλεῖται δὲ καὶ ἐνηλύσια. Πολέμων δὲ Ἀθηναίους φησὶ τὸ κατασκηφθὲν χωρίον καλεῖν.

Ἠλύσιον πεδίον ἐν ᾧ οἱ παρ' Ἕλλησι δίκαιοι αὐλίζονται, μετὰ θάνατον ἐκεῖσε ἐλευσόμενοι· οἱ δὲ κολάσεων ἄξιοι ἐν τῷ Κωκυτῷ καὶ τῷ Πυριφλεγέθοντι ἀπελεύσονται. ποταμοὶ δὲ οὗτοι ὁ μὲν Κωκυτὸς ψυχρότατος, ὁ δὲ Πυριφλεγέθων θερμότατος.

ἤλυσις ⟨Herodot. 2 123⟩ ἔλευσις, ἄφιξις, ἔφοδος, πορεία.

ἠλυσκάζειν ἐκκλίνειν.

a ἥλω ⟨Hom. χ 230⟩ ἐλήφθη, ἐφανερώθη, ἐπορθήθη.

b ἥλω γενικῇ· "ταύτης ὁ μέγας ἥλω Κυπριανός."

ἥλῳ τὸν ἧλον ἐκκρούεις. παροιμία ἀντὶ τῷ ἁμαρτήματι τὸ ἁμάρτημα σπεύδεις ἐξελάσαι· τὸ δὲ οὐχ οἷόν τε.

ἥλωκεν ἐκρατήθη.

ἡλωκότος κρατηθέντος. καὶ ἡλωκόσιν.

ἠλώμην ⟨Hom. δ 91⟩ ἐπλανώμην.

ἤλων ἤλαυνον.

Ἠλώνη ⟨Hom. Β 739⟩ πόλις, καὶ Ἠλωναῖος ὁ πολίτης.

ἥλωσαν ἐνικήθησαν, ἐλήφθησαν.

ἧμα ⟨Hom. Ψ 891⟩ ἀκόντισμα.

Ἠμαθία ἡ τὸ παλαιὸν Παιονία προσαγορευομένη ⟨Exc. Peir. p. 118⟩. καὶ Ἠμαθίων Ἠμαθίωνος ὄνομα κύριον.

ἠμαθόεντος ⟨Hom. Β 77⟩ ἀμμώδους.

ἧμαι κάθημαι.

ἡμέκτεον ἀντὶ τῦ ἐδυσφόρυν, καὶ ἡμεκτέων παρὰ Ἡροδότῳ ⟨1 44?⟩ ἀντὶ τοῦ δυσφορῶν.

ἠμάλαψεν ⟨Lycophron 34⟩ ἔβλαψεν.

ἦμαρ ἡμέρα. τὸ ἦμαρ ψιλοῦται· τὰ γὰρ ἀπὸ δασέων μετασχηματιζόμενα ψιλοῦται, οἷον ἡδονή ἦδος, ἅμα ἄμυδις· οὕτως ἡμέρα ἦμαρ. ὁ δὲ Ἡρωδιανός φησιν ὅτι τὰ εἰς ος οὐδέτερα, εἰ ἀπὸ φύσει μακρᾶς ἄρχονται, ψιλοῦνται, οἷον αἶσχος εὖχος εὖρος ἦθος· οὕτω καὶ ἦμος καὶ ἦμαρ. Σοφοκλῆς ⟨Ai. 475⟩ "τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει, προσθεῖσα κἀναθεῖσα τῦ γε κατθανεῖν;" σχόλια. τί γὰρ ἡμέρα μία ἔχει, προσθεῖσα τὸ ζῆν καὶ ἀναβαλλομένη τοῦ θανεῖν, τέρπειν τὸν ἄνθρωπον;

ἤματα ἡμέρας. εἵματα δὲ τὰ ἱμάτια διὰ διφθόγγου, καὶ δασύνεται.

ἤμβλω παραλόγως εἰς πέρας ἤχθη· "οἳ δὲ σπασάμενοι τὰ ἐγχειρίδια τῦτον ἀπέσφαξαν, καὶ ἐξήμβλω μὲν ἡ ἔννοια τῆς θεοσυλίας τῷ ἀνοσίῳ, ἐπαύσαντο δὲ τοῦ δέυς οἱ Δελφοί" ⟨Aelianus? cf. v. ἐξήμβλωσεν⟩.

ἤμβροτεν ⟨Hom. η 292⟩ ἀπέτυχεν.

ἡμεδαπός ἀντὶ τοῦ ἡμέτερος. Ἀριστοφάνης ⟨Pac. 220⟩ "ὁ γοῦν χαρακτὴρ ἡμεδαπὸς τῶν ῥημάτων." καὶ αὖθις ⟨cf. v. Κλείσοφος⟩ "καί τι καὶ παίσωμεν παρασίτυ μνημονεύσαντες ἡμεδαποῦ." καὶ ἡμεδαπῶν ἰδίων, ἐγχωρίων, αὐτοχθόνων· δάπεδον γὰρ τὸ ἔδαφος. ὅθεν καὶ τὸ ποδαπός ἀντὶ τῦ ποῖος λαμβάνεται, ἢ ποίας χώρας, ἢ τίνος πατρίδος.

ἠμείβετο ἀνταπεκρίνετο.

ἠμείδηκε. καὶ ἠμειδηκώς μὴ γελάσας· ἀμειδῶ γὰρ τὸ οὐ γελῶ.

ἠμείφθη ἠλλάγη.

ἤμειψα ἤλλαξα.

ἦμεν ἐπορευόμεθα, ἀπὸ τοῦ εἴω· διὸ καὶ τὸ ι προσγεγραμμένον. Ἀριϛοφάνης Πλύτῳ ⟨659⟩ "ἔπειτα πρὸς τὸ τέμενος ᾖμεν τοῦ θεοῦ."

ἡμένη πελειάς, ἐπὶ τῶν ἁπλουϛάτων, κατὰ ἀντιπαρεξέτασιν τῆς παλευτρίας· αἳ γὰρ ἐξιπτάμεναι ἀπατῶσιν ἑτέρας. παλεῦσαι γὰρ τὸ ἀπατῆσαι σημαίνει. sch. Α Av. 1083.

ἡ μὲν κλέος ἠδὲ καὶ ἦσθα, ἐπὶ τῶν ὁμοίων τῇ περὶ αὐτῶν φήμῃ.

ἡ μέν μοι πρόφρων ἔπεσιν καὶ χερσὶν ἀρῆξαι" ⟨Hom. Α 77⟩. ἓν μέρος λόγυ ἐϛί, τὸ δὲ ἐντελέϛερον ἦ μήν. ἐϛι δὲ ὁρκικὸν ἐπίφθεγμα.

ἥμενος ὁ καθήμενος, ἡμμένος δὲ ὁ ἐξημμένος καὶ ἀνηρτημένος.

ἡμέρα δυνάμεως ἡ δευτέρα τῦ Χριϛῦ ἐπιφάνεια· Δαβίδ "μετὰ σῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου." Theodoret. in Ps. 109 3.

ἡμέρα ἐπαγωγῆς ⟨Proverb. 27 10⟩ παρὰ τὸ ἐπάγεσθαι ἡμῖν τὰ ἄξια τῶν βεβιωμένων.

ἡμέραι πλήρεις τὸ γῆρας. Theodoret. in Ps. 72 10.

ἡμέραν πονηρὰν ἡ γραφὴ τὴν τῆς τιμωρίας καλεῖ, ὥσπερ καὶ ἀγγέλους πονηρὰς τοὺς τῆς τιμωρίας ὑπουργούς. ὀργὴν δὲ καὶ θυμὸν καὶ θλῖψιν ἐπὶ θεοῦ τὰς τιμωρίας καλεῖ· οὐ γὰρ φύσιν οὐδὲ προαίρεσίν φησιν. Theodoret. in Ps. 77 49.

ἡμέρα πονηρά ἡ τῆς κρίσεως ἡμέρα,

ἡ αἰωνία κόλασις. *Δαβὶδ* "τοῦ πραῦναι αὐτῷ ἀφ' ἡμερῶν πονηρῶν." ὁ γὰρ πικρὰν παιδείαν κατὰ τὸν παρόντα δεχόμενος πρᾳότερον τὸ κριτήριον ἕξει. Theodoret. in Ps. 93 13.

ἡμερήσιον τὸ καθ' ἡμέραν διδόμενον.

ἡμερινὰ ζῷα τὰ παραφαινόμενα μεθ' ἡμέραν, νυκτερινὰ δὲ γλαῦξ ἐλεὸς βύας νυκτικόραξ ἐπολιός σκώψ. θαλάσσια δὲ ἀλκυὼν κήυκες αἴθυιαι λάρος χαραδριός καταρράκτης κέγκλος.

ἡμερινῶν σιτίων ⟨A Pac. 162⟩ ἀντὶ τοῦ θνητῶν καὶ ἐπιγείων.

ἡμερίς ἄμπελος, ἀπὸ τοῦ ἡμεροῦν ἡμᾶς. καὶ ἡ κνίδη. τινὲς δὲ ἀναδενδράδα καὶ ἐλαίαν. καὶ ἡ ἥμερος ὕλη, λεπτόφυλλος δρῦς, ἢ οἰνάνθη· "ἡμερὶ πανθέλκτειρα μεθυτρόφε, μῆτερ ὀπώρας οὔλης, ἣ σκολιὸν πλέγμα φύεις ἕλικος" ⟨AP 7 24⟩.

ἡμεροδρόμος ὁ ἥλιος. λέγονται δὲ καὶ οἱ ταῖς βασιλικαῖς διατάξεσι ταχύτατα διακονούμενοι ἡμεροδρόμοι. νέοι δ' εἰσίν, ἐφήβων ὀλίγῳ πρεσβύτεροι, πρωτογενείων ἐγγύς, ταῖς τοιαύταις ὑπηρετούμενοι χρείαις, τόξων καὶ βελῶν καὶ ἀκοντίων καὶ πυροβόλων λίθων ἐπιφερόμενοι πλέον οὐδέν· ταῦτα γὰρ αὐτοῖς πρὸς τὴν ὁδοιπορίαν γίνεται χρήσιμα. Nilus p. 88.

ἡμεροκαλλές εἶδος ἄνθους.

ἡμερόκοιτος ὁ κλέπτης.

ἡμερόλεγδον.

ἥμερος ὁ πρᾷος.

ἡμεροσκόποι οἱ ἐν ἡμέρᾳ φρουροῦντες. sch. A Av. 1174.

ἡμερῶ αἰτιατικῇ.

ἡμερωρεῖν ἡμεροφυλακεῖν.

ἡμετέρειος κτητικόν.

ἡμημένον τεθερισμένον.

ἡ μὴμπειρία ἡ μὴ ἐμπειρία, τουτέστιν ἡ ἀπειρία. Ἀριστοφάνης ⟨Eccl. 114⟩ "δεινόν ἐστιν ἡ μὴμπειρία."

ἦ μὴν ὄντως δή. καὶ ἀλλ' οὖν, καὶ ἀλλ' ὅμως. "ὄμνυμι τοὺς βασιλείους θεούς, ἦ μὴν ἐγὼ ὑμᾶς σώσω."

ἥμην ὑπῆρχον, ἢ ἐκαθήμην.

ἠμί φημί, λέγω.

ἡμιδαής ἡμίκαυστος· ἐν ἐπιγράμματι ⟨AP 5 183⟩ "ἡμιδαὲς πέμψαι· χθὲς γὰρ ἔνεισι δύο."

ἡμιδαπής ἡμιτελής.

ἡμιδιπλοΐδιον γυναικεῖον ἱμάτιον, ἀναβόλαιον γυναικῶν, ὁ ἀπέληξ. sch. A Eccl. 318.

ἡμιεκτέον μέτρον, τουτέστι δ' χοινίκων. ὁ γὰρ μέδιμνος μη' χοινίκων ἐστί· τούτων ἂν τὸ ἕκτον εἶσιν η' χοίνικες, τὸ δὲ ἡμίεκτον, τουτέστι τὸ δωδέκατον τῶν μη' χοινίκων, δ'. ἡμιεκτέον δὲ διὰ τοῦ ε λεκτέον καὶ οὐχὶ ἡμιεκταῖον. sch. A Nub. 643.

ἡμίεκτον καὶ ἡμιμέδιμνον. τοῦ μεδίμνου ἔχοντος χοίνικας μη', τὸ ἡμιμέδιμνον δῆλον ὅτι τὰς κδ' εἶχεν. ἡμίεκτον δὲ τὸ χωροῦν δ' χοίνικας· τὸ γὰρ ἕκτον χοίνικες ὀκτώ. Harp.

ἡμίεργον ἡμιτέλεστον· "Ἀντωνίῳ δὲ ᾠκοδόμει νεὼν μέγαν, ὅσπερ οὖν ἡμίεργος ἀπελείφθη, τῷ Σεβαστῷ δὲ ἐτελέσθη."

ἡμικάδιον τὸ ἡμίμετρον.

ἡμίκαυτος ἡμίφλεκτος.

ἡμικλεῖς· "ἐξαίφνης ἀνοίξαντες τὰς ἡμικλεῖς πύλας ἐξελαύνουσι τῆς πόλεως αὐτῶν Παρθυαίων καὶ Μήδων, ὅ τι περ ὄφελος ἦν τῆς ἱππικῆς δυνάμεως, ἱππεῖς ὡς χ'."

ἡμίκραιρα τὸ ἥμισυ τῆς κεφαλῆς· ⟨A Thesm. 234⟩ "τὴν ἡμίκραιραν τὴν ἑτέραν ψιλὴν ἔχων."

ἡμίκρανον τὸ ἥμισυ τῆς κεφαλῆς.

ἡμικύκλιον τὸ ἥμισυ τοῦ κύκλου.

ἡμιμάλλονες ⟨an αἱ μιμαλλόνες⟩ μαινάδες, νύμφαι, ἢ βάκχαι. cf. v. μιμαλλόνας.

ἡμιμέδιμνον μέτρον χοινίκων κδ'.

ἡμῖν, ἀντωνυμία, ἀντὶ τοῦ τοῖς ἡμετέροις.

ἡμίνα μέτρον.

ἡμιολία τὸ ἥμισυ τοῦ κεφαλαίου· "δίδοσθαι δὲ ὀψώνιον τοῖς στρατεύειν αἱρουμένοις παρ' αὐτῷ ἡμιόλιον τοῦ νῦν διδομένου." καὶ ἡμιολίας ἡμίσεως.

ἡμιολίαις πειρατικοῖς πλοίοις· "ταχὺ δὲ τοὺς κέλητας καὶ τὰς ἡμιολίας ὑπερισθμίσας ἀνήχθη, σπεύδων καταλαβεῖν τὴν τῶν Ἀχαιῶν σύνοδον." καὶ αὖθις "λῃσταί τινες εἰς πολυχειρίαν καὶ πειρατικαῖς ἡμιολίαις τῇ Λακωνικῇ προσενεχθέντες, εἰς τὰ χωρία ἐσωσάμενοι λείαν ἀπήγαγον."

ἡμιολιασμός Ἀντιφῶν ἀντὶ τοῦ τὰ ἡμιόλια δοῦναι. Harp.

ἡμιόλιός ἐστιν ἀριθμὸς ὁ ἔχων ἄλλον ὅλον καὶ τὸ ἥμισυ αὐτοῦ.

ἡμιόνειον ζεῦγος. καὶ ἡμιονείη ἡ κόπρος τοῦ ἡμιόνου.

ἡμιπαίδευτος ὁ ἀπαίδευτος.

ἡμιπέλεκα αἱ μονόστομοι ἀξίναι.

ἡμιπέλεκυς ἡμιπελέκεως.

ἡμίσεια. ἥμισυ παντός. Ἡσίοδος ⟨O. 40: cf. vv. νήπιος et ὅσῳ πλέον⟩ "νήπιοι, οὐδὲ ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός." ⟨Aelianus: cf. vv. μελεδωνός et πολυωρήσεις⟩ "ἔςι δὲ οὕτως. ἀδελφὼ δύο ἤςην. ὁ τοίνυν ἕτερος ἀποθνήσκων καὶ παῖδα ὀρφανὸν ἀπολείπων τὸν ἀδελφὸν ἐγγράφει καὶ τοῦ υἱοῦ ἐπίτροπον καὶ τῶν χρημάτων, ὧν ἐκείνῳ κατέλιπε, μελεδωνόν. ὃ δὲ ἀνόσιος ὤν, τὰ τοῦ παιδὸς σφετερίσασθαι γλιχόμενος, εἶτα μέντοι καὶ τὰ οἰκεῖα προσαπώλεσε. δεομένῳ δὲ πολυωρίας τινὸς καὶ ῥοπῆς τυχεῖν τῆς εἰς τὸ κρεῖττον ἀπεκρίνατο 'νήπιος ὃς οὐκ ἐνόησεν ὅσῳ πλέον ἥμισυ παντός.' παιδεύσεως ταῦτα ἔχεται, καὶ ψυχὴν καθαίρει, καὶ βίον κοσμεῖ, καὶ σωφροσύνην ἐντίθησι, καὶ δικαιοσύνην νομοθετεῖ."

a ἥμισυς ὁ βραχύς· ⟨Polyb. 37 2⟩ "ἥμισυς ἀνὴρ Προυσίας ὁ βασιλεὺς κατὰ τὴν ἐπιφάνειαν, καὶ πρὸς τὰς πολεμικὰς χρείας ἀγεννὴς καὶ γυναικώδης."

b ἥμισυς ἡμίσεος, καὶ τὸ ἥμισυ τοῦ ἡμίσεος.

ἡμιτύβιον δίκροσσον· Ἀριςοφάνης Πλούτῳ ⟨729⟩ "ἔπειτα καθαρὸν ἡμιτύβιον λαβών."

ἡμιτύμβιον ὁ μικρὸς τάφος.

ἡμιφάριον, τουτέςιν ἥμισυ ἱματίου.

ἡμίφωνον.

ἡμιωβόλιον τὸ ἥμισυ τοῦ ὀβολοῦ. cf. v. πάσης.

ἡμμένοι συνημμένοι, ἀντὶ τοῦ ἀνηρτημένοι. "οἳ δὲ καταρράκτας, οὓς εἶχον ὀλίγον ἐξωτέρω διὰ μηχανημάτων ἀνημμένους, αἰφνίδιον καθῆκαν καὶ ἐπεβάλοντο, καὶ τούτους κατασχόντες πρὸ τοῦ τείχους ἀνεσκολόπισαν" ⟨Polybius? cf. Liv. 27 28⟩.

ἡμοιρηκώς μὴ μετέχων.

ἥμονες ⟨Hom. Ψ 886⟩ οἱ ἀκοντιςαί.

ἢ Μορσίμου τις ῥῆσιν ἐξεγράψατο ⟨A Ran. 151⟩, ἐπὶ τῶν ἀποβλήτων καὶ διαβεβλημένων. ὁ γὰρ Μόρσιμος τραγῳδὸς ἦν, ποιητὴς ὑπόψυχρος, Φιλοκλέους, ὀφθαλμῶν ἰατρός, μικρός· υἱὸν δὲ ἔσχεν Ἀςυδάμαντα.

ἠμπέσχετο περιεβάλετο, καὶ ἠμπίσχετο, δοτικῇ. ἠμπείχετο δέ.

ἠμπόληκας ἐπώλησας, ἐκέρδανας. λέγεται δὲ καὶ ἐπὶ φαύλου τροπικῶς, ἀντὶ τοῦ περιεποίησας. "ἆρ' ἠμπόληκας, ὥσπερ ἡ φάτις κρατεῖ;" ⟨S Ai. 978⟩.

ἠμύω κλίνω. "ἠμύσσετο" δὲ "τὴν καρδίαν" ἀντὶ τοῦ ἐταράσσετο.

ἡμωδιῶ ἀντὶ τοῦ αἱμωδιῶ.

Ἡμωδὸν ὄρος.

ἤμων ⟨Hom. Σ 531⟩ ἐθέριζον.

ἤν ἀντὶ τοῦ ἐάν· Ἀριςοφάνης ⟨Nub. 1503⟩ "τοῦτ' αὐτὸ καὶ βούλομαι, ἢν ἡ σμινύη μὴ προδῷ τὰς ἐλπίδας," ἂν μὴ κλασθῇ. ταῦτα δὲ ἔλεγεν ἐμπιπρῶν τὴν σχολὴν τοῦ Σωκράτους.

ἦν ἀντὶ τοῦ ἤμην· Ἀριςοφάνης Πλούτῳ ⟨28⟩ "ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ κακῶς ἔπραττον καὶ πένης ἦν," καὶ Πισίδης "κἀγὼ γὰρ εἷς ἦν τῶν βοᾶν ἠπειγμένων." καὶ ἦν ὑπῆρχον, δοτικῇ.

ἠναιδηκότες.

ἠναίνετο ἀπηρνεῖτο, ἀπεςρέφετο· "καὶ ὑπὲρ ὧν ἐδίψα ἀκοῦσαι, ἠναίνετο."

ἦν ἄρα καὶ πυρὸς ἕτερα θερμότερα, καὶ λόγων ἐν πόλει τῶν ἀναιδῶν ἀναιδέςεροι" ⟨A Eq. 381⟩, ἐπὶ τῶν καθ' ὑπερβολὴν γινομένων.

ἠνάρισεν ἐφόνευσεν, ἐσκύλευσεν· ⟨AP 7 226⟩ "οὔ τινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης ἠνάρισε ςυγερῆς ἐν ςροφάλιγγι μάχης."

ἥνδανεν ⟨Hom. A 24⟩ ἤρεσκεν.

ἦν δ' ἐγώ ἔφην δὲ ἐγώ, παρὰ Πλάτωνι καὶ Ἀριςοφάνει.

ἠνδρίσατο ἀνδρικῶς ἐπάλαισεν.

ἠνδρώθησαν ἀνδράσιν ὡμίλησαν. οὕτως Δίων ⟨fr. 87 3⟩ πολλάκις ἐχρήσατο.

ἠνδρωμένος ηὐξημένος.

ἤνεγκον ἀπὸ τοῦ ἐνεγκών, ἤνεγκα δὲ ἀπὸ τοῦ ἐνέγκας.

ἤνεικα ἐκόμισα.

ἠνείχοντο ἐβούλοντο, ἤθελον· Δαμάσκιος "οὔτε ἐπεγγελᾶν ἠνείχοντο τοῖς εἰρημένοις."

ἠνεμόεσσαν ⟨Hom. B 606⟩ ὑψηλήν. καὶ ἠνεμῶσθαι τὸ περὶ ἔρωτα ἐπτοῆσθαι· Αἰλιανός "καὶ ἐδόκει περὶ τὴν ἄνθρωπον ἀκρατῶς ἠνεμῶσθαι."

ἢν ἐμπνέω ⟨A Thesm. 933⟩ ἕως οὗ ζῶ.

ἠνέσαμεν ἠσπασάμεθα, ἠγαπήσαμεν· ἐν ἐπιγράμματι ⟨AP 6 302⟩ "ἐκ πατέρων ταύτην ἠνέσαμεν βιοτήν."

ἠνεσχέθην ὑπέμεινα. καὶ ἠνέσχετο, γενικῇ.

ἠνήσαμεν ἠνέσαμεν.

ἠνθισμένον· ⟨S El. 43⟩ "οὐ γάρ σε χρό-

νῳ μακρῷ γνῶσ', οὐδ' ὑποπτεύσουσιν ὧδ' ἠνθισμένον." τινὲς τὸ ἠνθισμένον ἐπὶ τῆς κεφαλῆς ἤκουσαν, οἷον ταῖς πολιαῖς ἠνθισμένον. τῦτο δὲ ἀπίθανον· ἐγνώσθη γὰρ ἄν, εἰ καὶ τοσοῦτον ἤλλαξε τὴν κεφαλήν. δοκεῖ οὖν μοι τὸ ἠνθισμένον ἀντὶ τοῦ ἠσκημένον· οὐ μὴ ὢν σε ἐπιγνῶσι τοιαῦτα πλαττόμενον. εἰ δὲ τὸ ἠνθισμένον ἐπὶ ἡλικίας δεξαίμεθα, ἔςιν οὐκ ἐπὶ τῶν τριχῶν ἀλλ' ἐπὶ παντὸς τῦ σώματος.

ἠνί ἀντὶ τοῦ ἰδού, δωρικῶς· ⟨AP 6 236⟩ "ἠνὶ δὲ σιμβλεύει κηροτρόφα δῶρα μελισσῶν ἑσμῷ βομβητῇ κυκλόσε βριθόμενα."

ἡνίαι λῶροι χαλινῶν. "ὁπότερος ἂν σφῶν εὖ με μᾶλλον ἂν ποιῇ, τέτῳ παραδώσω τῆς Πυκνὸς τὰς ἡνίας" ⟨A Eq. 1105⟩, τυτέςι τὴν ἐξουσίαν, τροπικῶς ἀπὸ τῶν ἁρμάτων· ταῖς γὰρ ἡνίαις ἡνιοχοῦνται οἱ ἵπποι, οἱ δὲ δῆμοι διὰ τῶν πολιτευομένων.

ᾐνιγμένος μετὰ αἰνίγματος λελεγμένος, οὐκ αὐτόθεν φανερὸν ἔχων τὸν νοῦν, παρ' ὅσον οἱ χρησμοὶ λοξῶς ἐξεφέροντο. "καὶ ποικίλως πως καὶ σοφῶς ᾐνιγμένος" ⟨A Eq. 196⟩, οἷον ἄλλα μὲν λέγων ἄλλα δε νοῶν.

ἡνίκα ὁπότε.

ᾐνιμᾶσθαι ἀντλεῖσθαι.

ᾐνιξάμην ⟨S Ai. 1158⟩ αἰνιγματωδῶς εἶπον.

ἡνίοχος καὶ ἡνισχεία.

Ἡνίοχος Ἀθηναῖος, κωμικὸς τῆς μέσης κωμῳδίας. ἔςι τῶν δραμάτων αὐτοῦ τάδε, Τροχίλος, Ἐπίκληρος, Γοργόνες, Πολυπράγμων, Θωρύκιον, Πολύευκτος, Φιλέταιρος, Δὶς ἐξαπατώμενος.

ἠνίπαπεν ⟨Hom. B 245⟩ ἐκακολόγησεν.

ἦνις ⟨Hom. Z 94⟩ ὁ ἐνιαύσιος, ὁ ἀκέντριςος.

ἢν κατεργάσῃ ἐὰν διαπράξῃ ἅπερ αὐτοῖς ἐπηγγείλω. sch. A Eq. 929.

Ἠνοπίδην ⟨Hom. Ξ 444⟩ ὄνομα κύριον.

ἠνορέη ἀνδρία· "ἄγγελλ' ἠνορέην Κρητὸς Ἐχεκρατίδα" ἐν ἐπιγράμματι ⟨AP 6 23⟩.

ἦνοψ ὁ λαμπρός· "οὐρανὸς ἦνοψ" ⟨cf. v. ἔνδιος⟩ καὶ "ἤνοπα πυρὸν ἔδουσι," τουτέςι πυρρὸν σῖτον. καὶ ἡ δοτικὴ ἤνοπι ⟨Hom. Π 408⟩.

ἤντετο ⟨Hom. Π 788⟩ συνήντησεν.

ἠντιβόλει ἱκέτευεν, ἐδεῖτο, ἐλιπάρει.

ἠνύσατε ἐφθείρατε. καὶ Ὅμηρος ⟨Λ 365⟩ "ἦ θήν σ' ἐξανύω γε καὶ ὕςερον ἀντιβολήσας." καὶ Σοφοκλῆς ⟨OR 166⟩ "ἠνύσατ' ἐκτοπίαν φλόγα πήματος." ἐκτοπίαν δὲ ἀντὶ τῦ ξένην καὶ ἀκόλαςον. ἀντὶ τοῦ ἐκτοπίαν γενέσθαι, ὅ ἔςιν ἐκτὸς καὶ ἀπὸ τῶν τόπων τῆς πόλεως.

ἤνυςρον τὸ παχὺ μέρος τῆς κοιλίας ἐν ἐντέρῳ· εἰς τρία γὰρ τέτμηται ἡ γαςήρ, ἤνυςρον ἐχῖνον κεκρύφαλον. ⟨A Eq. 355⟩ "ἐγὼ δ' ἤνυςρον βοὸς καὶ κοιλίαν ὑείαν καταβροχθίσας."

ἠνώχλησα ἐβιασάμην.

ἧξε παρεγένετο.

ἠξίου διὰ φροντίδος εἶχε· Προκόπιος ⟨Arc. 18⟩ "οὐ γὰρ ἠξίου τοῖς καιροῖς ἐναρμόζειν τὰς πράξεις, ἀλλ' ἀπὸ καιροῦ παντὸς εἰργάζετο."

ἠξίωτο ἐπεπίςευτο· "ἐπεὶ δὲ καὶ συμμαχικῶν χρημάτων ἠξίωτο, ταῦτα μὲν ἀφῃρέθῃ, αὐτὸς δὲ ἀνεπέμφθη παρὰ τὸ ἔθνος τῶν Ἰαζύγων."

ἤομεν ἐπορεύθημεν· Ὅμηρος ⟨κ 251⟩ "ἤομεν ὡς ἐκέλευσας." ἀπὸ τοῦ εἴω τὸ πορεύομαι, δωρικῶς, τροπῇ τῆς διφθόγγου ει εἰς η.

ἠοῦς ⟨Hom. Θ 470⟩ ὄρθρου, ἡμέρας· ἢ ἀνατολῆς.

ἠπαλύνθησαν ⟨Ps. 54 22⟩.

ἧπαρ. καὶ ἡπατοσκοπία ἡ τῶν ἐγκάτων ἀνατομή, δι' ὧν προεμήνυον τὰ συμβησόμενα· ἀνατέμνοντες γὰρ σημεῖά τινα ἐθεώρουν ἐν τοῖς ἐγκάτοις.

ἠπεδανός ἀσθενής· ἐν μύθῳ "ἐγγύθι δ' ἔςη ἠπεδανοῖο λέοντος."

ἤπειρον. τῷ Ἰσοκράτει σύνηθές ἐςι τὴν ὑπὸ βασιλεῖ τῶν Περσῶν γῆν οὕτω καλεῖν. Harp.

ἤπειρος χέρσος γῆ, οἷον ἄπειρός τις οὖσα. ἤπειρος δὲ λέγεται παρὰ τοῖς ποιηταῖς ἡ γῆ καταχρηςικῶς, κυρίως δὲ ἡ εἰς ἄπειρον ἐκβάλλουσα, ὡς Εὐριπίδης "ἤπειρον εἰς ἄπειρον ἐκβάλλων πόδα."

Ἀππιανός "Ἀλλόβριγες, Γαλατῶν ἔθνος. δύσμαχοι δ' αὐτῶν ἦσαν αἱ πόλεις, ἀπὸ τῆς ἀμπώτεως ἐφ' ἡμέραν ἠπειρούμεναί τε καὶ νησούμεναι. οἳ δὲ πλοίοις ἐπολέμουν. τοῦ δὲ Καίσαρος Γαΐου περὶ τὰς πόλεις ςαυροὺς πηξαμένυ ὑψηλοὺς καὶ τοῖς ςαυροῖς ἐπιθέντος γεφυρώματα, ὁ μὲν κλύδων ἐχώρει διὰ τῶν ςαυρωμάτων ὑπὸ τοῖς γεφυρώμασι, Ῥωμαίοις δὲ ἀδεὲς καὶ ἐπίμονον ἦν τὸ ἔργον."

**Ἠπειρώτης.** καὶ **Ἠπειρωτικὴ θάλισσα.**

a **ἧπερ** ἀντὶ τοῦ ὥσπερ· "ἀλλ' ἧπερ αὐτὸς τὴν δίκην διωρίσω, θεὶς δεῦρο τοὐπίξηνον ἐγχείρει λέγειν" Ἀριϛοφάνης ⟨Ach. 363⟩.

b **ἧπερ** καθότι· "ἐδόκει δὲ τῷ βασιλεῖ ἀρκεῖσθαι τοῖς παροῦσι καὶ μὴ σφόδρα ἐπαίρεσθαι, ἧπερ ἐϛὶν ἄριϛον πολέμῳ καὶ τοῖς ἐκ τοῦ πολέμου συμβαίνουσιν ὁμιλεῖν, ὡς οὐδενὸς ἐν αὐτοῖς βεβαίᴂ καὶ πιϛοῦ πάντως ὑπάρχοντος."

ἡ **Περγαία Ἄρτεμις.** τάσσεται ἐπὶ τῶν ἀγυρτῶν καὶ πλανητῶν, παρ' ὅσον ἡ θεὸς αὕτη νομίζεται ἀγυρτεύειν ἀεὶ καὶ πλανᾶσθαι.

**ἠπεροπεύειν** ἐξαπατᾶν, παραλογίζεσθαι, καὶ τὰ τούτοις ἐπακολουθοῦντα. Ἀριϛοφάνης ⟨Lys. 839⟩ "σὸν ἔργον ἐϛὶ τοῦτον ὀπτᾶν καὶ ϛρέφειν κἀξηπεροπεύειν, καὶ πάνθ' ὑπέχειν πλὴν ὧν σύνοιδεν ἡ κύλιξ." περὶ Κινησίου φησίν, ὅτι κατωφερὴς ἦν εἰς συνουσίαν. πλὴν ὧν συνωμοσάμεθα μὴ ποιεῖν ἐπὶ τῆς κύλικος, τουτέϛι συνουσιάζειν. ἔϛι δὲ ὅρκος ὁ ἐπὶ τῆς κύλικος ⟨ib. 223⟩ "οὐδέποθ' ἑκοῦσα τἀνδρὶ τὠμῷ πείσομαι. εἰ δέ μ' ἄκουσαν βιάσεται βίᾳ, κακῶς παρέξω κοὐχὶ προσκινήσομαι."

**ἠπεροπευτής** ⟨Hom. *Γ* 39⟩ ὁ ἀπατεών. καὶ **ἠπεροπῆας** ⟨λ 363⟩.

**ἠπῃνημένων** ⟨an ἐπῃνεμένων⟩ ἐπαίνου τυχόντων· "ὃ δὲ ἐκέλευε παρὰ τῶν ἠπῃνημένων πολλῷ πλείονα μισθὸν κομίζεσθαι."

**ἠπήτρια** ἡ ῥάπτρια, καὶ **ἠπήτριον** τὸ σουβλίον μεθ' οὗ ῥάπτουσι τὰ βυρσάρια. οἱ δὲ Ἀττικοὶ ἀκέϛριαν.

**ἠπίαλος** ὁ ῥιγοπύρετος. καὶ **ἠπιαλῶν** μετοχή· Ἀριϛοφάνης ⟨Ach. 1163⟩ "ἠπιαλῶν γὰρ οἴκαδ' ἐξ ἱππασίας βαδίζων." ἠπιαλῶν ῥιγοπυρέτῳ περιπεσών· ἠπίαλος γὰρ κυρίως ὁ μετὰ ῥίγους πυρετός. ἐξ ἱππασίας δὲ ἀντὶ τοῦ ἱππικῆς· καὶ γὰρ ἕως ἑσπέρας διέτριβον οἱ ἵπποι ἐν τῇ δοκιμασίᾳ.

**ἠπιόδωρος** ⟨Hom. *Ζ* 251⟩ ἤπια καὶ προσηνῆ δωρουμένη, χρηϛή.

**Ἠπιόνη** γυνὴ Ἀσκληπιοῦ. καὶ θυγάτηρ αὐτῆς Ὑγεία Αἴγλη Ἰασὼ Ἀκεσὼ Πανάκεια.

**ἤπιος** πρᾶος, ἢ λιπαρός. καὶ **ἠπιώτατος.**

**ἠπίτριπτος** ἡ ἐπίτριπτος, ἡ ἀξία τοῦ ἐπιτριβῆναι· ἢ ἡ μεγάλα φθεγγομένη. Ἀριϛοφάνης Πλούτῳ ⟨619⟩ περὶ τῆς πενίας "αὕτη μὲν ἡμῖν ἠπίτριπτος οἴχεται."

ἢ **ποδῶν εἶχεν ἕκαϛος ἔθεον,** ἀντὶ τοῦ ὡς εἶχον δυνάμεως.

ἢ **πολλοῦ γε δεῖ** ἀντὶ τοῦ οὐδὲ ὅλως. sch. A, Ach. 542.

ἦ **πῃ** ἴσως, σχεδόν· "ἦ πῃ δεόμενοι δυσωπεῖν."

ἦ **πού γε** πολλῷ πλέον.

**ἠπύει** φωνεῖ. καὶ **ἤπυον.**

**ἠπύτης** ὁ φωνητικός, ὁ κῆρυξ.

**Ἠπυτίδης** ⟨Hom. *P* 324⟩.

**Ἤπυτον** ὄρος Θρᾴκης.

**Ἢρ** ὄνομα κύριον Ἑβραϊκόν.

**ἤρα** ἐπεθύμει, ἐγλίχετο, ἐρωτικῶς εἶχεν· a
"ὁ δὲ Ἀβραὰμ ἤρα Ῥωμαϊκῆς παρατάξεως, ἀεί πως αὐτῷ γελᾶν τὴν τύχην οἰόμενος" ⟨cf. Cedren. p. 771⟩. "αἰσχρᾶς τις ἤρα καὶ κακοτρόπου δούλης" Βάβριος ⟨10⟩. καὶ αὖθις "ἤρα νεκρὸν ἰδεῖν βάρβαρον καὶ ὑπ' ἄλλου πεφονευμένον."

**ἤρα** ἐπεθύμει. ⟨Diog. L. 6 96⟩ "Ἱππαρχία b
ἤρα τῶν λόγων Κράτητος, ὡδεν ὡς ἄλλα ἐπιϛρεφομένη πράγματος. ἥτις εἰς συμπόσιον ἐλθοῦσα σὺν Κράτητι Θεόδωρον τὸν ἄθεον ἤλεγξεν, σόφισμα προτείνασα τοιοῦτο. ὃ ποιῶν Θεόδωρος οὐκ ἂν ἀδικεῖν λέγοιτο, οὐδ' Ἱππαρχία ποιοῦσα τοῦτο ἀδικεῖν λέγοιτο ἄν· Θεόδωρος τύπτων ἑαυτὸν οὐκ ἀδικεῖ· οὐδ' Ἱππαρχία Θεόδωρον τύπτουσα ἀδικεῖ. ὃ δὲ πρὸς τὸ λεχθὲν οὐκ ἀπήντησεν, ἀνεσύρατο δ' αὐτῆς τὸ ἱμάτιον."

**Ἥρα** ὁ ἀήρ. καὶ ἐπεὶ ὁ ἀὴρ καθαίρει, τὸ εἴδωλον αὐτῆς βαϛάζει ψαλίδα χαλκῆν, ἀπὸ μεταφορᾶς τῆς κειρούσης ψαλίδος τὰς τρίχας καὶ καθαρὸν ἀποδεικνυούσης τὸ σῶμα. Codin. orig. CP p. 14.

**Ἡραία** πόλις.

**ἡραῖον** ὁ τῆς Ἥρας ναός.

**Ἡραῖον τεῖχος** χωρίον ἐϛὶν ἐν Θρᾴκῃ, ὑπὸ Σαμίων δὲ ᾠκίσθη. καὶ **Ἥραιον.**

**Ἡραΐσκος.** ὅτι τὴν μὲν φύσιν θειοειδέ- a
ϛερος ἦν Ἡραΐσκος, ὃ δὲ τὴν Αἰγυπτίων σοφίαν δαημονέϛερος, ὁ Ἀσκληπιάδης, ὥϛε τοσοῦτον χρόνον οὗτος μὲν τῇ Αἰγυπτίων προσδιατρίβων, ἐκεῖνος δὲ ἀποδημῶν. ὁ δ' ἕτερος ὅμως τῆς τοῦ ἑταίρου κατὰ πολὺ ἐλείπετο φύσεως ἢ ἐπιϛήμης. ὁ μὲν δὴ Ἡραΐσκος αὐτοφυὴς ἐγένετο διαγνώμων τῶν τε ζώντων καὶ τῶν μὴ ζώντων ἱερῶν ἀγαλμάτων· εὐ-

θὺς γὰρ ἐμβλέπων ἐτιτρώσκετο τὴν καρδίαν ὑπὸ τοῦ θειασμοῦ, καὶ ἀνεπήδα τό τε σῶμα καὶ τὴν ψυχὴν ὥσπερ ὑπὸ τοῦ θεοῦ κατάσχετος. εἰ δὲ μὴ κινοῖτο τοιῦτόν τι, ἄψυχον ἦν ἐκεῖνο τὸ ἄγαλμα καὶ ἄμοιρον θείας ἐπιπνοίας. οὕτω διέγνω τὸ ἄρρητον ἄγαλμα τῦ Αἰῶνος ὑπὸ τοῦ θεοῦ κατεχόμενον, ὃν Ἀλεξανδρεῖς ἐτίμησαν, Ὄσιριν ὄντα καὶ Ἄδωνιν ὁμοῦ κατὰ μυςικὴν ὡς ἀληθῶς φάναι θεοκρασίαν. ἐνῆν δὲ τοῦ Ἡραΐσκου τῇ φύσει καί τι τοὺς μολυσμοὺς τῆς φύσεως ἀναινόμενον· εἰ γοῦν αἴσθοιτο φθεγγομένης ὅπως δὴ καὶ ὅθεν γυναικὸς ἀκαθάρτου τινός, ἤλγει παραχρῆμα τὴν κεφαλήν, καὶ τοῦτο σημεῖον ἐποιεῖτο τῆς ἀφεδρείας. ὕτω μὲν ζῶντι συνῆν ἀεί τι θεοειδές· ἀποθανόντι δὲ ἐπειδὴ τὰ νομιζόμενα τοῖς ἱερεῦσιν ὁ Ἀσκληπιάδης ἀποδιδόναι παρεσκευάζετο, τά τε ἄλλα καὶ τὰς Ὀσίριδος ἐπὶ τῷ σώματι περιβολάς, αὐτίκα φωτὶ κατελάμπετο πανταχῇ τῶν σινδόνων ἀπόρρητα διαγράμματα, καὶ περὶ αὐτὰ καθεωρᾶτο φασμάτων εἴδη θεοπρεπῆ, ἐπιδεικνύντων τὴν ψυχὴν ἐναργῶς, ποίοις ἄρα θεοῖς γεγόνει συνέςιος. ἦν δὲ αὐτοῦ καὶ ἡ πρώτη γένεσις τῷ ὄντι μυςική· λέγεται γὰρ κατελθεῖν ἀπὸ τῆς μητρὸς τοῖς χείλεσιν ἔχων τὸν κατασιγάζοντα δάκτυλον, οἷον Αἰγύπτιοι μυθολογοῦσι γενέσθαι τὸν Ὧρον καὶ πρὸ τῦ Ὥρου τὸν Ἥλιον. τοιγαροῦν ἐπεί οἱ συνεπεφύκει τοῖς χείλεσιν ὁ δάκτυλος, ἐδεήθη τομῆς, καὶ διέμεινεν ἀεὶ τὸ χεῖλος ὑποτετμημένον ἰδεῖν, ἅπασι φανεροῦν τὸ σημεῖον τῆς ἀπορρήτου γενέσεως. ὅθεν αὐτῷ καὶ ὁ βίος ἐς τοῦτο προῆλθεν, ἐν ἀδύτοις ἑκάςοτε καὶ τελεςηρίοις ἐνδιαιτᾶσθαι τὴν ψυχήν, ὅτι κατ' Αἴγυπτον μόνην κινοῦντι τὰς πατρίυς τελετάς, ἀλλὰ καὶ τῆς ἀλλοδαπῆς εἴ πού τι καταλέλειπτο τῶν τοιύτων. καὶ ἐγεγόνει ὁ Ἡραΐσκος Βάκχος, ὡς ὄνειρος αὐτὸν κατεμήνυσεν. ὁ δὲ Ἀσκληπιάδης ἐπὶ πλεῖον ἐν τοῖς Αἰγυπτίοις βιβλίοις ἀνατραφεὶς ἀκριβέςερος ἦν ἀμφὶ θεολογίαν τὴν πάτριον, ἀρχάς τε αὐτῆς καὶ μέσα διεσκεμμένος καὶ τὴν ἀπειρίαν ἀτεχνῶς τῶν ἐσχάτων περάτων πολυπραγμονήσας, ὡς ἔξεςιν εἰδέναι σαφῶς ἀπό τε τῶν ὕμνων ὧν συγγέγραφεν εἰς τοὺς Αἰγυπτίων θεούς, καὶ ἀπὸ τῆς πραγματείας ἣν ὥρμησε γράφειν περιέχουσαν τῶν θεολογιῶν ἁπασῶν τὴν συμφωνίαν. καὶ συγγραφὴν δὲ ἔγραψεν Αἰγυπτίων ὠγυγίων, πράγματα περιέχουσαν οὐκ ἐλαττόνων ἐτῶν ἢ τριῶν μυριάδων, ἀλλὰ πλειόνων ὀλίγῳ. ὁ δὲ Ἡραΐσκος οὐ μόνον ἀγαθὸς ἦν καὶ ἤπιος, ἀλλ' εἶχέ τι καὶ ... πρὸς τὴν πονηρίαν θυμούμενος καὶ πρὸς τὰς ἐπιβουλὰς τῶν ἀνθρώπων ἀνδριζόμενος, οὐδαμοῦ δὲ παρεκβαίνων τὸ μέτρον τῆς δικαιοσύνης. ὅ τε γὰρ Ἀμμώνιος καὶ Ἐρύθριος ὁ Αἰγύπτιος διεμάχοντο πρὸς ἀλλήλυς ἐν Βυζαντίῳ, καὶ διετέλει προωθῶν ἀεὶ ὁ ἕτερος τὸν ἕτερον εἰς τοὺς ἐσχάτους κινδύνυς. Damasc. Phot. p. 343.

**Ἡραΐσκος** ἀνὴρ Αἰγύπτιος. οὗτος ἦν b
μὲν συνεῖναι δεινότατος, ἀγωνιςὴς δὲ οὐκ ἰσχυρὸς ὑπὲρ τῆς ἀληθείας, οὐδὲ τὰς ἔξω φερούσας ἀπὸ ταύτης ὁδοὺς ἀνιχνεῦσαι καὶ διεξελθεῖν. οὗτος γὰρ ἐς τοὐναντίον ἐκεκλήρωτο τὴν εὐμοιρίαν.

**ἠραιωμένῳ** ἀραιῷ ὄντι.

**Ἡράκλεια** πόλις περὶ Σικελίαν, ἡ λεγομένη Μίνῳα.

**ἡράκλεια.** πολλῶν ὄντων τῶν κατὰ τὴν Ἀττικὴν ἡρακλείων, Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου (125) ἤτοι τῶν ἐν Μαραθῶνι ἢ τῶν ἐν Κυνοσάργει μνημονεύει· ταῦτα γὰρ διὰ τιμῆς μάλιςα ἦγον Ἀθηναῖοι. Harp.

**Ἡράκλεια λίθος** ἡ Μαγνῆτις, ἑλκυςικὴ τοῦ σιδήρου. Πισίδης "πάντας δ' ὑφέλκων οἷα Μαγνῆτις λίθος, ἢ μᾶλλον εἰπεῖν Ἡράκλειαν τὴν λίθον· φύσιν γὰρ αὐτὸς ἑλκτικωτέραν ἔχει."

**Ἡράκλεια λουτρά** τὰ θερμά· κατὰ δωρεὰν γὰρ ὁ Ἥφαιςος ἀνέδωκεν αὐτὰ τῷ Ἡρακλεῖ. ἐξ ὧν τὰ θερμά.

**Ἡράκλειαι** ςῆλαι.

**Ἡράκλειαν λίθον.** τινὲς τὴν Μαγνῆτιν ἀπέδοσαν διὰ τὸ τὴν Ἡράκλειαν τῆς Μαγνησίας εἶναι. οἱ δὲ ὅτι ἡ μὲν ἐπισπωμένη τὸν σίδηρον Ἡρακλεῶτις, ἡ δὲ Μαγνῆτις ἀργύρῳ ὁμοία ἐςίν, ὡς Εὐριπίδης ἐν Οἰνεῖ "τὰς βροτῶν γνώμας σκοπῶν ... ὥστε Μαγνῆτις λίθος τὴν δόξαν ἕλκει καὶ μεθίςησιν πάλιν." ὃ λέγει νῦν ὑπὸ τῆς Μαγνήτιδος λίθου τὸν σίδηρον ἀλλὰ τὴν τῶν θεωμένων δόκησιν ἕλκεσθαι, πλανωμένων ὡς ἐπὶ ἀργύρῳ.

**Ἡρακλείδης** Εὔφρονος φιλόσοφος, a
Ἡρακλείας τῆς Πόντυ, τὸ δὲ γένος ἄνωθεν ἀπὸ Δάμιδος, ἑνὸς τῶν ἡγησαμένων τῆς εἰς Ἡράκλειαν ἐκ Θηβῶν ἀποικίας, Πλάτωνος γνώριμος· ἐκδημήσαντος δὲ Πλάτωνος εἰς

Σικελίαν προεςάναι τῆς σχολῆς κατελείφθη ὑπ' αὐτοῦ. οὗτος καὶ δράκοντα ἔθρεψε καὶ ἡμέρωσε, καὶ εἶχε συνδιαιτώμενον αὐτῷ καὶ συγκαθεύδοντα· ὃς καὶ μόνος ἐπὶ τῆς κλίνης εὑρέθη τοῦ Ἡρακλείδου κατακλιθέντος μὲν ὑγιοῦς, οὐχ εὑρεθέντος δέ. καὶ ἄλλοι μὲν αὐτὸν ἀπηθανατίσθαι ἐνόμισαν, ἄλλοι δὲ ἐν φρέατι αὐτὸν ἐμβεβληκέναι, ὡς ἂν δόξῃ τοῖς ἀνθρώποις ἀπηθανατίσθαι. ἔγραψε πολλά.

b Ἡρακλείδης Ὀξυρυγχίτης φιλόσοφος, ὁ τοῦ Σαραπίωνος, ὃς ἐπεκλήθη λέμβος, γεγονὼς ἐπὶ Πτολεμαίου τοῦ ἕκτου· ὃς τὰς πρὸς Ἀντίοχον ἔθετο συνθήκας. ἔγραψε φιλόσοφα καὶ ἄλλα.

c Ἡρακλείδης Ποντικός, ἀπὸ Ἡρακλείας τῆς Πόντου, γραμματικός, ὅςις Διδύμῳ τῷ πάνυ κατὰ τὴν Ἀλεξανδρέων ἐφοίτησεν. οὗτος ἐπειδὴ ἤκουσεν Ἄπερος τῦ Ἀριςάρχου μαθητοῦ εὐδοκιμοῦντος κατὰ τὴν Ῥώμην πολλά τε τὸν Δίδυμον διασύροντος, ἔγραψε μέτρῳ Σαπφικῷ ἤτοι Φαλαικείῳ βιβλία γ' δυσερμήνευτα καὶ πολλὴν τὴν ἀπορίαν ἔχοντα προβαλλομένων ζητημάτων, ἅτινα Λέσχας ἐκάλεσεν, εἰς Ῥώμην δὲ κομίσας καὶ τοῦ Ἄπερος καταφανεὶς κατέμεινε σχολαρχῶν ἐν αὐτῇ ἐπὶ Κλαυδίυ καὶ Νέρωνος. ἔγραψε δὲ καὶ ποιήματα ἐπικὰ πολλά.

Ἡρακλείη βίη τοῦ Ἡρακλέους.

a Ἡράκλειος βασιλεὺς Ῥωμαίων. οὗτος ὑπὸ Ἀθανασίου πατριάρχου Ἰακωβιτῶν καὶ Σεργίου τοῦ Σύρου Κωνςαντινουπόλεως εἰς τὴν αἵρεσιν τῶν μονοθελιτῶν ἐξεκυλίσθη.

ὅτι Ἡρακλείῳ τῷ βασιλεῖ ὄντι ἐν Περσίδι ἐτελεύτησαν β' υἱοὶ καὶ β' θυγατέρες. αὐτὸς δὲ λαβὼν τὰ ζωοποιὰ ξύλα ἐσφραγισμένα, καθάπερ ἐλήφθησαν διαμείναντα, εἰς τὰ Ἱεροσόλυμα ἀφίκετο καὶ Μοδέςῳ τῷ ἀρχιερεῖ καὶ τῷ αὐτῦ κλήρῳ ταῦτα ὑπέδειξεν. οἱ δὲ τήν τε σφραγῖδα σώαν ἐπεγίνωσκον καὶ ἀνέπαφον, τήν τε κλεῖδα τὴν παρ' αὐτῷ ἤγαγε, καὶ προσεκύνησαν καὶ ὕψωσαν, καὶ ἐς τὸ Βυζάντιον ἐξέπεμψεν ὁ βασιλεύς· ἃ δὴ Σέργιος ἀρχιερεὺς εἰς Βλαχέρνας ὑπεδέξατο. καὶ μετ' οὐ πολὺ Ἡράκλειος εἰς Βυζάντιον ἐχώρει, δεχθεὶς μετὰ πολλῆς εὐφημίας.

ὅτι ὁ αὐτὸς Ἡράκλειος ἐκ Περσῶν εἰς τὸ Βυζάντιον δ' ἦγεν ἐλέφαντας, οὓς δὴ καὶ εἰς τοὺς ἱππικοὺς ἀγῶνας ἐθριάμβευσεν ἐπὶ τῇ τῆς πόλεως τέρψει, πάσαις δωρεαῖς φιλοτιμησάμενος. ἐπεὶ δὲ ἦν ἑλὼν ἐκ τῆς οὐσίας τῆς μεγάλης ἐκκλησίας, ... ἐκ τῦ βασιλέως ταμιείου αὐτῇ τε καὶ τῷ κατ' αὐτὴν κλήρῳ ἐτήσια χρήματα παρέχεσθαι. καὶ Κωνςαντῖνον υἱὸν αὐτῦ παρασκευάζει ὑπατεῦσαι, Ἡράκλειόν τε τὸν ἀπὸ Μαρτίνης Καίσαρα προχειρίζεται. πυθόμενος δὲ ἀποθανεῖν ἐν τοῖς εἰς τὰ Ἡρία παλατίοις διέτριβε. καὶ συναγαγὼν ὁ ὕπαρχος καὶ συζεύξας πλοῖα εἰς τὸν πορθμὸν τοῦ καλεμένυ Στενοῦ, διέβη κατὰ τὰς ἀκτὰς τοῦ καλουμένυ κόλπυ Φειδαλίας, καὶ διὰ τῆς γεφύρας τοῦ Βαρυβύσσυ ποταμοῦ εἰς τὴν πόλιν εἰσῄει. ὑςέρῳ δὲ τὸν βίον καταςρέφει.

ὅτι ἐπὶ Ἡρακλείου --- πατριάρχυ. cf. v. βρύχιος.

Ἡράκλειος ςρατηγὸς γεγονὼς ἐπὶ Ζή- b
νωνος οἷος μὲν τολμῆσαι καὶ πρόθυμος ἐγχειρεῖν ἐς πολέμους ἑτοίμως, ὃ μέντοι τὸ προμηθὲς εἶχεν ἐν τοῖς κινδύνοις, οὐδὲ βουλὴν πρότερον ποιησάμενος ὥρμα πρὸς ὃ ἔσπευδε πράττειν, ἀλλ' ἔξω τοῦ λογισμοῦ πρὸς τὰ ἔργα ἐχώρει, καὶ τὸ ἐμπλήκτως ὀξὺ ἐν ἀνδρὸς μοίρᾳ ἐτίθετο. ὅπερ δὴ καὶ μάλιςα αὐτὸν ὕςερον ἔσφηλεν. Malchus p. 278 Nieb.

Ἡράκλειος ψώρα ἡ δυσθεράπευτος, ἡ Ἡρακλείων λουτρῶν δεομένη πρὸς θεραπείαν· ἡ γὰρ Ἀθηνᾶ τῷ Ἡρακλεῖ πολλὰ ἀνῆκε λυτρὰ πρὸς ἀνάπαυσιν τῶν πόνων.

Ἡράκλεις σχετλιαςικὴ φωνή· ὗτος γὰρ a
ὁ Ἡρακλῆς εἰς ἐπικουρίαν ἐκαλεῖτο ὡς ἀλεξίκακος τοῖς σχέτλια πάσχουσιν. sch. A Ach. 283.

Ἡράκλεις ἐπίφθεγμα θαυμαςικόν· τὸ b
γὰρ Ἡράκλες κλητικὴ πτῶσις, ὥσπερ τὸ ὦ Δάματερ τοῦ Δήμητερ διαφέρει. ἐπικαλοῦνται δὲ τὺς Ἡρακλείδας ὁμοίως· Μένανδρος (fr. inc. 319) "ἀλλ' ὦ Ἡρακλεῖδαι καὶ θεοί."

Ἡρακλείτειος λόγος, καὶ Ἡρακλείτεια θηλυκῶς, καὶ Ἡρακλείτεια συγγράμματα.

Ἡράκλειτος ὄνομα κύριον.

Ἡράκλειτος Βλόσωνος ἢ Βαύτωρος, οἱ δὲ Ἡρακίνου, Ἐφέσιος, φιλόσοφος φυσικός, ὃς ἐπεκλήθη σκοτεινός. ὗτος ἐμαθήτευσεν οὐδενὶ τῶν φιλοσόφων, φύσει δὲ καὶ ἐπιμελείᾳ ἠσκήθη. οὗτος ὑδρωπιάσας οὐκ ἐνεδίδου τοῖς ἰατροῖς ᾗπερ ἐβούλοντο θεραπεύειν αὐτόν, ἀλλ' αὐτὸς βολβίτῳ χρίσας ὅλον ἑαυτὸν εἴασε ξηρανθῆναι τοῦτο ὑπὸ τῷ ἡλίῳ,

καὶ κείμενον αὐτὸν κύνες προσελθοῦσαι διέσπασαν. οἱ δὲ ἄμμῳ χωσθέντα φασὶν ἀποθανεῖν. τινὲς δὲ αὐτὸν ἔφασαν διακοῦσαι Ξενοφάνους καὶ Ἱππάσου τοῦ Πυθαγορείȣ. ἦν δὲ ἐπὶ τῆς ξθʹ ὀλυμπιάδος, ἐπὶ Δαρείου τοῦ Ὑςάσπου, καὶ ἔγραψε πολλὰ ποιητικῶς. ζήτει ἐν τῷ Δηλίου κολυμβητοῦ.

ὅτι Ἡράκλειτος ἔφη ὀλιγωρεῖν πάντῃ τȣ̃ σώματος καὶ νομίζειν αὐτὸ κοπρίων ἐκβλητότερον, ἐκ τοῦ ῥᾴςου δὲ αὐτῷ τὰς θεραπείας ἀποπληροῦν, ἕως ἂν ὁ θεὸς ὀργάνῳ τῷ σώματι χρῆσθαι ἐπιτάττῃ. Iulian. or. 7 p. 226 C.

Ἡρακλειώτης ἀπὸ Ἡρακλείας.

Ἡρακλεοπολίτης.

Ἡρακλέος γενική.

Ἡρακλέους ἄγαλμα βαςάζον ἐν τῇ ἀριςερᾷ χειρὶ μῆλα τρία διὰ τὸ τὸ τριμερὲς τῆς ψυχῆς κεκοσμῆσθαι αὐτόν. ὁ Ἡρακλῆς Πίκου τοῦ καὶ Διὸς υἱός, φιλόσοφος ἄριςος.

Ἡρακλέων Αἰγύπτιος, ἀπὸ κώμης Τιλώτεως ὔσης ὑπὸ τῇ Ἡρακλέȣς πόλει, γραμματικός, ἐπαίδευσε δὲ ἐν Ῥώμῃ. ἔγραψεν ὑπόμνημα εἰς Ὅμηρον κατὰ ῥαψῳδίαν, καὶ εἰς τοὺς λυρικούς· περὶ τῶν παρ' Ὁμήρῳ προστακτικῶν ῥημάτων.

Ἡρακλεωτικός.

a Ἡρακλῆς ὄνομα κύριον. ἡ ἐτυμολογία τῆς κλήσεως ἀπό τινος χρησμοῦ· "Ἡρακλῆν δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει· ἦρα γὰρ ἀνθρώποισι φέρων κλέος ἄφθιτον ἕξεις."

b Ἡρακλῆς Ἀλκμήνης υἱός. τοῦτον φιλόσοφον ἱςοροῦσι, καὶ γράφȣσι δορὰν λέοντος φοροῦντα καὶ ῥόπαλον φέροντα καὶ τρία μῆλα κρατοῦντα, ἅπερ τρία μῆλα νικήσαντα τὸν πολυποίκιλον τῆς πονηρᾶς ἐπιθυμίας λογισμὸν διὰ τοῦ ῥοπάλου τῆς φιλοσοφίας ἀφελέσθαι ἐμυθολόγησαν, ἔχοντα περιβόλαιον φρόνημα ὡς δορὰν λέοντος. καὶ οὕτω φονεύσας τῷ ῥοπάλῳ τὸν δράκοντα τῆς ἐπιθυμίας ἀφείλετο τὰ τρία μῆλα, ὅ ἐςι τὰς τρεῖς ἀρετάς, τὸ μὴ ὀργίζεσθαι, τὸ μὴ φιλαργυρεῖν καὶ τὸ μὴ φιληδονεῖν· διὰ γὰρ τοῦ ῥοπάλου τῆς καρτερικῆς ψυχῆς καὶ τῆς δορᾶς τοῦ θρασυτάτου καὶ σώφρονος λογισμȣ̃ ἐνίκησε τὸν ἰὸν τῆς φαύλης ἐπιθυμίας, φιλοσοφήσας ἄχρι θανάτου. Io. Antioch. exc. Peir. p. 778.

c Ἡρακλῆς "ἀέριον κλέος ἔσχεν," οἷον μέγα καὶ περιβόητον. ἀνεφάνη δὲ ἐπὶ Μίνωος Ἡρακλῆς Τύριος, ὃς εὗρε τὴν βαφὴν τῆς καλουμένης κογχύλης ἀπὸ κυνὸς αἱμαχθέντος τὰς σιαγόνας, καὶ προσήγαγε Φοίνικι τῷ βασιλεῖ, ὃς πρῶτος ἐφόρεσε πορφύραν.

Ἡρακλῆς ξενίζεται, παροιμία ἐπὶ τῶν a βραδυνόντων. οἱ γὰρ ὑποδεχόμενοι τὸν Ἡρακλέα βραδύνουσι· πολυφάγος γὰρ ὁ ἥρως (sch. A Lys. 927).

ἠρανος· Παῦλος Σιλεντιάριος "ἵλαθι τολμήεντι μεγασθενὲς ἤρανε γαίης" πρὸς βασιλέα Ἰουςινιανὸν ἐν τῇ ἐκφράσει τῆς ἁγίας Σοφίας (1 44).

ἤραρεν (Hom. Δ 110) ἥρμοσεν.

ἠρασάμην (Hom. Ξ 317) ἠράσθην.

Ἥρας δὲ δεσμοὺς ὑπὸ υἱέος Πλάτων Πολιτείας βʹ (378 B). οὕτω γραπτέον· παρὰ Πινδάρῳ γὰρ ὑπὸ Ἡφαίςου δεσμεύεται ἐν τῷ ὑπ' αὐτȣ̃ κατασκευασθέντι θρόνῳ, ὅ τινες ἀγνοήσαντες γράφουσιν ὑπὸ Διός, καί φασι δεθῆναι αὐτὴν ἐπιβουλεύσασαν Ἡρακλεῖ. Κλήμης. ἡ ἱςορία καὶ παρ' Ἐπιχάρμῳ ἐν Κωμαςαῖς ἢ Ἡφαίςῳ.

ἤρασσον ἔκρουον, ἔπληττον, ἐβλασφήμουν. (S Ai. 724) "μαθόντες ἀμφέςησαν, εἶτ' ὀνείδεσιν ἤρασσον ἔνθεν κἄνθεν," ἀντὶ τοῦ πάντες ὁμοφρόνως. καὶ αὖθις (AP 6 317) "αὐτὰρ ὃ πεπταμένῃ μέγα τύμπανον ἔσχετο χειρὶ ἤραξεν· καναχῇ δ' ἴαχεν ἄντρον ἅπαν."

ἠρᾶτο (Hom. Α 35) ηὔξατο.

ἠργολαβηκώς.

ἠρδαλωμένος λεπρὸς καὶ μεμιασμένος. καὶ ἠρδάλωσεν ἠσβόλωσεν.

ἤρδιον (ῥήδιον?) περιφανὲς ἅρμα σκεπαςόν.

ᾕρει ἐλάμβανεν.

ἤρειδεν ἧφιεν, ἔπεμπεν· (A Eq. 623) "ἔπη ἤρειδε κατὰ τῶν ἱππέων."

ἤρεικον ἔσχιζον· (Hes. Scut. 287) "ἤρεικον χθόνα δῖαν."

ἠρεικώς σθενώσας καὶ ὑπακουμβίσας. καὶ ἤρεισεν ἠκούμβισεν.

ᾑρεῖτο ἐπεθύμει, ἐλάμβανε· "πολλάκις a γὰρ οὐ μόνον τῆς ἡμέρας ἀλλὰ καὶ τῆς νυκτὸς σῖτον ᾑρεῖτο, καὶ ὑπὲρ τὰς τῶν δείπνων παρασκευὰς τὰ πολυτελῆ τῶν δημοσίων ἀπετρύετο" (Io. Antioch. exc. Peir. p. 814. cf. v. Βιτέλλιος).

ᾑρεῖτο ἐξελέγετο, προέκρινεν· "ᾑρεῖτο δὲ b ὁπόσον κάχληκος τοῦ ἐμφερομένου τοῖς ἐδάφεσιν" (cf. v. κάχληκες).

ἠρεῖτο ἐπορθεῖτο.

ἠρέμα ἀτρέμας. καὶ ἠρεμαίως καὶ ἠρεμεί ἡσύχως.

ἠρεμία ἀτρεμία τις οὖσα, κατὰ στέρησιν τοῦ τρέμειν, οἷον ἡ ἀκινησία.

ᾑρετισάμην, αἰτιατικῇ, εἱλόμην, ἐξελεξάμην. Ps. 119 173.

ἤρετο ἠρώτα, ἔλεγεν, ἠρώτησε. κεῖται δὲ καὶ ἐπὶ τοῦ ἐπαίρεσθαι τῷ φρονήματι.

Ἥρη ἡ Ἥρα. καὶ κλίνεται Ἥρης.

ᾑρήκασι πεπορθήκασι, καὶ ᾑρηκότες πεπορθηκότες.

ᾑρημένην κεχειροτονημένην, καὶ ᾑρημένον ἐπικριθέν, ἐκλελεγμένον. "ἐπειδὴ ἐτύγχανον ἐκ πλείστου τὰ Περσῶν ᾑρημένοι, προπηλακίζεσθαί τε ὑπὸ Κόλχων αὐτῶν καὶ Ῥωμαίων, καὶ ἐν τοῖς ἀτιμοτάτοις τετάχθαι."

ἠρήρειστο (Hom. Γ 358, Δ 136) ἥρμοστο· "τὸ δὲ δὴ ξίφος εὖ μάλα ἠρήρειστο τῷ συνασπισμῷ, καὶ ἀκριβῶς ὑπῆρχε στερρόν τε καὶ ἀπερίσπαστον."

Ἥρης τῆς Ἥρας.

ἠρήσαντο (Hom. Γ 318) ηὔξαντο.

ἤρθη ηὐξήθη, ὑψώθη.

ἦρι ὄρθρου, ἕωθεν· ἢ ἔαρι.

a ἠρία τὰ ἐν τῇ γῇ μνήματα· (AP 7 180) "ἡνίκα δυσδάκρυτα κατὰ χθονὸς ἠρία τεῦχον, ὡς ἂν ἀποφθιμένου κεῖθι δέμας κτερίσω." καὶ αὖθις (AP 7 209) "ἠρίον ἐκ βώλου διψάδος ἐκτισάμην, ὄφρα σε καὶ φθίμενον Δηοῦς σταχυητρόφος αὖλαξ θέλγῃ, ἀροτραίῃ κείμενον ἐν θαλάμῃ."

b ἠρία οἱ τάφοι. φασὶ δέ τινες κοινότερον μὲν πάντας τοὺς τάφους οὕτως ὀνομάζεσθαι, κατ' ἐξαίρετον δὲ τοὺς μὴ ἐν ὕψει ᾠκοδομημένους. ὠνομάσθαι δὲ παρὰ τὴν ἔραν. Harp.

ἠριγένειαν τὴν τὸν ὄρθρον γεννῶσαν. (AP 7 204) "οὐδ' ὑπὸ μαρμαρυγῇ θαλερώπιδος ἠριγενείης ἄκρα παραιθύσσεις θαλπομένων πτερύγων."

Ἠριγόνειος τάφος.

Ἠριδανός ποταμός.

ἠρίθμησεν ἀπεδειλίασε, μεθ' ἡσυχίας ἦγαγε· (A Eq. 567) "τοὺς ἐναντίους ἰδὼν οὐκ ἠρίθμησεν, ἀλλ' εὐθὺς ἦν ἀμυνίας," ἕτοιμος πρὸς ἄμυναν.

Ἠρικαπαῖος ὄνομα κύριον.

ἠρικνωμένον ἐρρυτιδωμένον, παλαιόν.

ἠρικώς ἐξισώσας καὶ φιλονεικήσας.

Ἤριννα· Τεΐα (an Τηνία) ἢ Λεσβία, ὡς δὲ ἄλλοι, Τηλία (Τῆλος δέ ἐστι νησίδιον ἐγγὺς Κνίδου)· τινὲς δὲ καὶ Ῥοδίαν αὐτὴν ἐδόξασαν. ἦν δὲ ἐποποιός. ἔγραψεν Ἠλακάτην· ποίημα δέ ἐστιν αἰολικῇ καὶ δωρίδι διαλέκτῳ, ἐπῶν τ'. ἐποίησε δὲ καὶ ἐπιγράμματα. τελευτᾷ παρθένος ἐννεακαιδεκέτις. οἱ δὲ στίχοι αὐτῆς ἐκρίθησαν ἴσοι Ὁμήρῳ. ἦν δὲ ἑταίρα Σαπφοῦς καὶ ὁμόχρονος.

ἠρινὸν ἄνθος ἐαρινόν.

ἠρινὸς καιρός ὁ τοῦ ἔαρος.

Ἤριον ὄνομα τόπου, ἠρίον δὲ ὁ τάφος.

ἤριπεν εἰς τὴν ἔραν κατέπεσεν· (AP 7 210) "ἤριπεν ἐσχαρίου λάβρον ἐπ' ἄσθμα πυρός."

ἠριπόλη ἡ ἡμέρα· ἐν ἐπιγράμματι (AP 5 228) "οὐδὲ φαεινῆς φέγγος ἰδεῖν ἐθέλω χρύσεον ἠριπόλης."

ἠριπώθη ἔπεσεν.

ἤρισεν ἐφιλονείκησεν.

ἤρκεσεν ἐβοήθησεν· "ὃ δὲ τὸν θώρακα αὐτοῦ διέρρηξεν, ὅς ἤρκεσέν οἱ ἀμῦναι λυγρὸν ὄλεθρον."

ἡρματισμένον ἠσφαλισμένον.

ἡρμόσαντο εὐφυῶς διετέθησαν· "οἳ δὲ ἡρμόσαντο πρὸς τὴν βούλησιν, καὶ συνέθεντο δέκα τάλαντα δώσειν." Πολύβιος "οἱ δὲ στρατιῶται πάντα ἡρμόζοντο πρὸς τὴν εἰς οἶκον ἐπάνοδον," ἀντὶ τοῦ ἐγίνοντο, παρεσκευάζοντο.

ἡρμόσθησαν φιλικῶς διετέθησαν· "λόγους οὖν προσοίσαντος καὶ ἥδιστα προσιεμένου, ἡρμόσθησαν ἄμφω."

ἡρμοττόμην ἐπαιδευόμην· Ἀριστοφάνης (Eq. 1233) "ἐν ταῖσιν εὔστραις κονδύλοις ἡρμοττόμην." ἀπὸ τῆς μουσικῆς τὸ ἡρμοττόμην.

Ἡρόδικος ὄνομα κύριον.

Ἡρόδοτος Λύξου καὶ Δρυοῦς, Ἁλικαρνασσεὺς τῶν ἐπιφανῶν, καὶ ἀδελφὸν ἐσχηκὼς Θεόδωρον. μετέστη δ' ἐν Σάμῳ διὰ Λύγδαμιν τὸν ἀπὸ Ἀρτεμισίας τρίτον τύραννον γενόμενον Ἁλικαρνασσοῦ· Πισίνδηλις γὰρ ἦν υἱὸς Ἀρτεμισίας, τοῦ δὲ Πισινδήλιδος Λύγδαμις. ἐν οὖν τῇ Σάμῳ καὶ τὴν ἰάδα ἠσκήθη διάλεκτον, καὶ ἔγραψεν ἱστορίαν ἐν βιβλίοις θ', ἀρξάμενος ἀπὸ Κύρου τοῦ Πέρσου καὶ Κανδαύλου τοῦ Λυδῶν βασιλέως. ἐλθὼν δὲ εἰς Ἁλικαρνασσὸν καὶ τὸν τύραννον ἐξελάσας, ἐπειδὴ ὕστερον εἶδεν ἑαυτὸν φθονούμενον ὑπὸ τῶν πολιτῶν, εἰς τὸ Θούριον ἀποικιζόμενον ὑπὸ Ἀθηναίων ἐθελοντὴς ἦλθε, κἀκεῖ τελευτήσας ἐπὶ τῆς ἀγορᾶς τέθαπται. τινὲς δὲ ἐν

Πέλλαις αὐτὸν τελευτῆσαί φασιν. ἐπιγράφονται δὲ οἱ λόγοι αὐτοῦ μοῦσαι.

περὶ Ἡροδότȣ λέγει ὁ παραβάτης ἐν ἐπιϛολῇ "τίς οὖν ἀγνοεῖ τὸν Αἰθιόπων ὑπὲρ τȣ̃ παρ' ἡμῖν τροφιμωτάτȣ σιτίου λόγον; ἁψάμενοι γὰρ τῆς μάζης θαυμάζειν ἔφασαν ὅπως κόπρια σιτούμενοι ζῶμεν, εἴ τῳ πιϛὸς ὁ Θούριος εἶναι λογοποιὸς δοκεῖ. ἰχθυοφάγων δὲ καὶ σαρκοφάγων ἀνθρώπων γένη, μηδ' ὄναρ ἰδόντα τὴν παρ' ἡμῶν δίαιταν, οἱ τὴν οἰκουμένην περιηγούμενοι γῆν ἱϛοροῦσιν· ὧν εἴ τις παρ' ἡμῖν ζηλῶσαι τὴν δίαιταν ἐπιχειρήσει, οὐδὲν ἄμεινον διακείσεται τῶν τὸ κώνειον προσενεγκαμένων ἢ τὴν ἀκόνιτον ἢ τὴν ἐλλέβορον."

**Ἡρομένης** ὄνομα κύριον.

**ἤροσα** ἠροτρίασα.

**Ἡρόϛρατος** ὄνομα κύριον.

**ἠροῦντο** ἐλάμβανον· "οἳ δὲ ὡς εἶχον χαμαὶ δεῖπνον ἠροῦντο."

**Ἡροφίλα** ἡ καὶ Σίβυλλα Ἐρυθραία, Θεοδώρου θυγάτηρ, ἔγραψε βιβλία γ' μαντικὰ ἐπικῶς, καὶ ἦλθεν εἰς Ῥώμην ἐν τοῖς χρόνοις τῶν ὑπάτων, ἄλλοι δὲ Ταρκυνίου, δοκȣ̃σα χρηματίσεσθαι δι' αὐτῶν. ὡς δὲ κατεφρονήθη, τὰς β' κατέκαυσε βίβλȣς, ἃς καὶ ἔτυχεν ἐπιφερομένη. περιεσώθη δὲ ἡ λοιπὴ μία, ἥτις καὶ παρὰ τῶν Ῥωμαίων ἐξωνήθη πολλοῦ τιμήματος.

**ἤρρησεν** ἐφθάρη, ἦλθεν. ὅθεν καὶ τὸ **εἰσήρρησεν.**

**ἤρτηται,** γενικῇ, κρέμαται· "ὃ δὲ τὰ μὲν πρῶτα ἐδεῖτο τῆς τῶν ἀνθρώπων ἰατρικῆς, καὶ ἐκείνων ἤρτητο."

**ἦρτο** ὑψοῦτο, ἠγείρετο· "τὸ δὲ χῶμα ἐπὶ τοσοῦτον ἦρτο ὥϛε ἐπὶ ἰσοπέδου ἐπὶ τὰς ὀφρύας τοῦ ὄρους τὰ βλήματα ἐξικνεῖτο."

**ἠρτύνετο** (Hom. *B* 55) παρεσκεύαζεν.

**ἠρύγγανεν** ἐμεγαλαύχει, ἐνηβρύνετο· "εἰ καὶ περίβλεπτον καὶ δόκιμον ἠρύγγανε γένος, ἐπιπράσκετο." ἠρύγγανεν οὖν κυρίως ἠρεύγετο.

**ἠρυγγίτης** εἶδος βοτάνης.

**ἤρυγεν** (Hom. Υ 404) ἐβόα.

**Ἠρύγιον** ὄνομα τόπου.

**ἠρυθροδανωμένον** ἐρυθρῷ βάμματι βεβαμμένον.

**Ἥρυλλος** ὁ Ἡρακλῆς.

**ἤρυον** ἤντλυν, καὶ **ἠρύσατο** ἤντλησεν.

**ἥρωας** τὰς ὑπολελειμμένας τῶν σπουδαίων ψυχάς.

**Ἡρώδειον** τόπος. Ioseph. B. I. 1 13 8 et 21 10.

**Ἡρώδης** ὁ πρῶτος, βασιλεὺς Ἰουδαίων, a
ἔσχεν υἱȣ̀ς ὁμωνύμȣς αὐτῷ καὶ διωνύμȣς γ', Ἡρώδην Ἀντίπαν τὸν καὶ τὸν πρόδρομον ἀποτεμόντα, ἐφ' οὗ καὶ ὁ κύριος ἐϛαυρώθη, καὶ Ἡρώδην Φίλιππον, ᾧ πρῶτον Ἡρωδιὰς συναφθεῖσα θυγατέρα Σαλώμην ἔσχε τὴν καὶ ὀρχησαμένην· καὶ Ἡρώδην Ἀγρίππαν τὸν καὶ Ἰάκωβον ἀνελόντα τοῦ Ζεβεδαίου (Cedren. p. 183 A). πρὸς ὃν τοῦ δήμου ἐπιφωνοῦντος τότε "θεοῦ φωνὴ καὶ οὐκ ἀνθρώπȣ," δίκην ἔδωκεν αὐτίκα. ϛολὴν γὰρ ἐξ ἀργύρȣ πεποιημένην περιθέμενος καὶ εἰς τὸ θέατρον ἐλθὼν καὶ ἐφ' ὑψηλοῦ βήματος καθίσας ἐδημηγόρει· τῆς δὲ ἡλιακῆς ἀκτῖνος προσπεσούσης τῷ ἐνδύματι, ἡ λαμπηδὼν τῇ αὐγῇ τῆς ἐσθῆτος ἀνακραθεῖσα τὰς ὄψεις τῶν περιεϛώτων κατήϛραψε, καὶ αἰωρηθέντων ἐπὶ τȣ́τῳ καὶ ὡς θεὸν αὐτὸν εὐφημησάντων ἐπαίρεται πλέον ὁ δείλαιος, ὃν εὐθὺς ἄγγελος κυρίου ἐπάταξεν ἀθρόως, καὶ ἀνεπήδησε τῆς καθέδρας ἐκ τοῦ σπαράττεσθαι δεινῶς τὴν γαϛέρα αὐτοῦ. τὸν δὲ Ἰάκωβον ἰδὼν ἀπαγόμενον τὴν ἐπὶ θάνατον ὁ κατήγορος αὐτȣ̃ καὶ μεταμεληθεὶς προσέπεσε τοῖς ποσὶ τοῦ ἀποϛόλου, λέγων "συγχώρησόν μοι, ἄνθρωπε τȣ̃ θεοῦ, ὅτι μεταμεμέλημαι ἐφ' οἷς ἐλάλησα κατὰ σοῦ." ὁ δὲ μακάριος παραυτίκα τȣ̃τον καταφιλήσας εἶπεν αὐτῷ "εἰρήνη σοι, τέκνον, εἰρήνη σοι καὶ συγχώρησις τȣ̃ πταίσματος." ὃ δὲ μετὰ φωνῆς μεγάλης εὐθέως Χριϛιανὸν ἑαυτὸν ἐπὶ πάντων ἀνηγόρευσεν, ὡς καὶ τὸ τοῦ μαρτυρίου βραβεῖον ἀπενέγκασθαι. ὁ δὲ ἄθλιος Ἡρώδης ἐπὶ ἡμέρας φθειρόμενος καὶ σκώληκας ἐκβράζων ἐλεεινῶς τὸν βίον κατέλυσεν, ὡς καὶ ὁ δυσσεβέϛατος αὐτȣ̃ πατήρ· κἀκεῖνος γὰρ τἀπίχειρα τῆς κατὰ Χριϛȣ̃ καὶ τῶν ὁμηλίκων αὐτοῦ τόλμης ἔτι περιὼν τῷ βίῳ κομισάμενος αἰσχίϛῳ μόρῳ τὸν βίον κατέϛρεψεν.

**Ἡρώδης** Ἰούλιος χρηματίσας, υἱὸς Ἀτ- b
τικοῦ τοῦ Πλουτάρχου (an Ἱππάρχου), γένος Αἰακίδης, Ἀθηναῖος, τῶν δήμων Μαραθώνιος, σοφιϛής, πλούσιος ἐκ θησαυροῦ γενόμενος σφόδρα, ὥϛε καὶ ϛάδιον κατεσκευάσατο Ἀθηναίοις καὶ θέατρον ὑπωρόφιον. ἦρξε τῆς Ἀσίας ὁ αὐτοῦ πατήρ, καὶ τοῖς δισυπάτοις συγκατελέχθη. ἦν δὲ ἐπί τε Τραϊανοῦ καὶ

31 *

Ἀδριανοῦ καὶ Μάρκου Ἀντωνίνου τῶν αὐτοκρατόρων, διδαχθεὶς ὑπὸ Φαβωρίνῳ καὶ Πολέμωνι, καὶ ἔγραψεν ἐφημερίδας, σύγγραμμα πολυμαθές, καὶ ἐπιςολάς, καὶ λόγȣς αὐτοσχεδίους, ὧν μέμνηται Φιλόςρατος ἐν τοῖς βίοις τῶν σοφιςῶν. διεδέξατο δὲ αὐτȣ̃ τὴν σχολὴν Ἀδριανὸς ὁ σοφιςής. σύγχρονος δὲ ἦν Ἡρώδης Ἀριςείδῃ τῷ σοφιςῇ. φέρονται δὲ αὐτοῦ καὶ ἄλλα πλεῖςα, ἐν οἷς τὸ μεγαλοφυὲς καὶ ὑψίνουν τοῦδε τοῦ ἀνδρὸς κατανοεῖται καὶ διαδείκνυται. τελευτᾷ δὲ ἀμφὶ τὰ ϛʹ καὶ οʹ ἔτη, ξυντακὴς γενόμενος.

Ἡρωδιανός Ἀλεξανδρεὺς γραμματικός, υἱὸς Ἀπολλωνίου τοῦ γραμματικοῦ τοῦ ἐπικληθέντος δυσκόλου, γέγονε κατὰ τὸν Καίσαρα Ἀντωνῖνον τὸν καὶ Μάρκον, ὡς νεώτερον εἶναι καὶ Διονυσίου τοῦ τὴν μȣσικὴν ἱςορίαν γράψαντος καὶ Φίλωνος τȣ̃ Βιβλίȣ. ἔγραψε πολλά.

Ἡρωδιάς ὄνομα κύριον.

Ἡρωδίωνος.

ἡρωελεγεῖον μέτρον τι.

ἡρώησεν ἔπαυσεν.

Ἡρωίνη ὄνομα κύριον.

Ἥρων Κότυος Ἀθηναῖος, ῥήτωρ τὰς ἐν Ἀθήναις δίκας γεγραφώς, εἶτα ἐξήγησιν Δεινάρχου, ὑπομνήματα εἰς Ἡρόδοτον Ξενοφῶντα Θουκυδίδην, κεκριμένων ὀνομάτων βιβλία γʹ, ἐπιτομὴν τῶν Ἡρακλείδȣ ἱςοριῶν, περὶ τῶν ἀρχαίων ῥητόρων καὶ τῶν λόγων οἷς ἐνίκησαν πρὸς ἀλλήλους ἀγωνιζόμενοι.

ὅτι Ἥρωνι ἐπέτρεψεν ἑαυτὸν ὁ Πρόκλος, ἀνδρὶ θεοσεβεῖ καὶ τελείαν παρασκευὴν ἐσχηκότι τῶν κατὰ τὴν παίδευσιν ὁδῶν, Ἀλεξανδρεῖ. Marin. V. Procli 9.

ἡρῷναι· Ἀριστοφάνης Νεφέλαις ⟨314⟩ "ἡρῷναί τινές εἰσι;" τρισυλλάβως τὸ ἡρῷναι προήνεγκαν, ὡς ἠίθεοι ἤθεοι. Αἰλιανός "γενναῖον ἔργον καὶ τολμηρὸν ἡρωίνης ἄντικρυς τοῦτο δράσασα."

Ἡρῷναξ ὄνομα κύριον.

ἡρῷον μνημεῖον.

ἥρως ἡμίθεος, δυνατός, γενναῖος. δισυλλάβως δὲ κέχρηται Ὅμηρος ἥρω, ἅπαξ ἐν Ἰλιάδι ⟨Η 453⟩ καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ ⟨θ 483⟩.

ἠρώτα παρεκάλει, ἔθυεν, ηὔχετο, ἱκέτευεν.

ἦς ὑπῆρχες.

Ἡσαΐας ὄνομα κύριον.

Ἡσαῖνον ὄρος.

ἦσάν ποτ᾽ ἦσαν ἄλκιμοι Μιλήσιοι ⟨A Plut. 1003⟩, παροιμία ἀπὸ χρησμοῦ, ἐπὶ τῶν ποτὲ εὖ εἶτα ἑτέρως γεγονότων.

ἦσαν ἀντὶ τοῦ ὕμνησαν, ἐδόξασαν.

ᾖσαν ᾔδεισαν, ἐγίνωσκον· ⟨Eur. Rhes. 854⟩ "οὐδ᾽ ἀφιγμένον τὸ πάμπαν ᾖσαν."

ἦσας χάριν ἐποίησας, ἐδόξασας.

ἥσατο ⟨Hom. ι 553⟩ εὐφράνθη.

Ἠσαῦ ὄνομα κύριον.

ἥσειν ⟨Hom. θ 203⟩ πέμψειν.

ἦσθα ἦς, ὑπῆρχες· ⟨AP 6 199⟩ "ἦσθα γὰρ εὐχωλῇσι κατήκοος, ἔνθα κελεύθοις ἵλαος."

ἦσθαι καθῆσθαι.

ἡσθείη χαρήσεται· ⟨A Lys. 201⟩ "ταύτην μὲν ἄν τις εὐθὺς ἡσθείη λαβών." τὴν κύλικά φησιν, ἐπεὶ μεγάλη ἦν καὶ πλέα. καὶ ἡσθείς χαρείς.

ἥσθην ἐχάρην.

ᾔσθηνται ἔγνωσαν· Ἀριςοφάνης ⟨Vesp. 671⟩ "οἱ δὲ σύμμαχοι ὡς ᾔσθηνται τὸν σύρφακα ἐκ κηθαρίου λαγαριζόμενον." καὶ ᾔσθετο ὁμοίως.

ἠσθῆσθαι περιβεβλῆσθαι· "θριαμβίδα τε ἠσθῆσθαι ςολὴν αὐτόν."

ἤσθητο ἀντὶ τοῦ περιεβέβλητο· "καὶ ἤσθητο κροκωτὸν χιτῶνα ὑπὲρ τȣ̃ πλείονας ἐς αὐτὸν ἐπιςρέφειν."

ἤσθιον ἔτρωγον.

ἠσί φησίν.

Ἡσίοδος Κυμαῖος, νέος δὲ κομισθεὶς ὑπὸ τοῦ πατρὸς Δίου καὶ μητρὸς Πυκιμήδης ἐν Ἄσκρῃ τῆς Βοιωτίας. γενεαλογεῖται δὲ εἶναι τοῦ Δίου τοῦ Ἀπέλλιδος τοῦ Μελανώπου, ὅν φασί τινες τοῦ Ὁμήρȣ προπάτορος εἶναι πάππον, ὡς ἀνεψιαδοῦν εἶναι Ἡσιόδου τὸν Ὅμηρον, ἑκάτερον δὲ ἀπὸ τȣ̃ Ἄτλαντος κατάγεσθαι. ποιήματα δὲ αὐτοῦ ταῦτα, θεογονία, ἔργα καὶ ἡμέραι, ἀσπίς, γυναικῶν ἡρωινῶν κατάλογος ἐν βιβλίοις εʹ, ἐπικήδειον εἰς Βάτραχόν τινα ἐρώμενον αὐτȣ̃, περὶ τῶν Ἰδαίων Δακτύλων, καὶ ἄλλα πολλά. ἐτελεύτησε δὲ ἐπιξενωθεὶς παρ᾽ Ἀντίφῳ καὶ Κτιμένῳ, οἳ νύκτωρ δόξαντες ἀναιρεῖν φθορέα ἀδελφῆς αὐτῶν ἀνεῖλον τὸν Ἡσίοδον ἄκοντες. ἦν δὲ Ὁμήρου κατά τινας πρεσβύτερος, κατὰ δὲ ἄλλους σύγχρονος. Πορφύριος καὶ ἄλλοι πλεῖςοι νεώτερον ρʹ ἐνιαυτοῖς ὁρίζουσιν, ὡς λβʹ μόνους ἐνιαυτοὺς συμπροτερεῖν τῆς πρώτης ὀλυμπιάδος.

Ἡσιόνη ὄνομα κύριον.

ἧσις τέρψις.

ἦσκει ἔκαμεν.

ἠσκημένον κατεσκευασμένον· ἀσκήματα γὰρ τὰ κατασκευάσματα. ⟨S El. 217⟩ "ἀλλ' οὐκ Ὀρέστου, πλὴν λόγῳ γ' ἠσκημένον."

ἠσμένισας ἐχάρης.

ἧσο κεῖσο· ⟨AP 6 52⟩ "οὕτω τοι, μελία ταναά, ποτὶ κίονα μακρὸν ἧσο, πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά." καὶ αὖθις ⟨AP 6 128⟩ "ἧσο κατ' ἠγάθεον τόδ' ἀνάκτορον, ἀσπὶ φαεννά."

ἤσπαιρεν· Ἡρόδοτος ⟨8 5⟩ "ὁ Κορίνθιος στρατηγὸς τῶν λοιπῶν ἤσπαιρε μοῦνος, φάμενος ἀποπλεύσεσθαι ἀπὸ Ἀρτεμισίου."

ἠσπικότες συνελθόντες.

ἡσσηθῆναι ἡττηθῆναι.

ἡσσηκότες ἡττήσαντες.

ἥσσηντο ἥττηντο.

ἡσσῆσθαι, παρακείμενος, ἀντὶ τοῦ ἡττῆσθαι.

ἧσσον ἑτοίμως κατέχειν, ἀντὶ τοῦ οὐδὲ ὁμοίως. καὶ αὖθις ⟨Procop. Arc. 7⟩ "ἧσσον δὲ ταῦτα τοὺς παραπεπτωκότας ἠνία ἢ τὰ πρὸς Ἰουστινιανὸν ἐς τὴν πόλιν."

ἡσσῶνται ἡττῶνται.

ἧσται καθέζεται. ἧσται δὲ ὠνόμασται.

ἥστην ἐκαθέζοντο, δυϊκῶς· Ἀριστοφάνης Ὄρνισι ⟨19⟩· "τὼ δ' οὐκ ἄρ' ἤστην." τινὲς δὲ διὰ τοῦ ι ἴστην, ἀντὶ τοῦ ᾔδεσαν, οὐδὲν ἄλλο ᾔδεσαν ἢ δάκνειν.

ἤστην ἀντὶ τοῦ ὑπῆρχον, δυϊκῶς· "ἀδελφὼ δύο ἤστην." καὶ αὖθις "ἐπηρμένω τε ἤστην ἄμφω ταῖς ἐλπίσιν," ἠπατημένω. cf. v. ἡμίσεια.

ἡστόν ἡδύ.

ἠσυνθέτηκας ⟨Ps. 72 15⟩ ἃ συνέθου καὶ ὡμολόγησας, παρέβης.

ἡ συκάμινος συκαμίνῳ ῥύπτεται, πρὸς τοὺς ἑαυτοῖς τὰ ὠφέλιμα λαμβάνοντας ἐξ ἑαυτῶν.

ἡ Συρακουσίων δεκάτη, ἐπὶ τῶν σφόδρα πλουσίων.

ἡσυχάζω δοτικῇ.

Ἡσύχιος Μιλήσιος, υἱὸς Ἡσυχίου δικηγόρου καὶ Φιλοσοφίας, γεγονὼς ἐπὶ Ἀναστασίου βασιλέως, ἔγραψεν ὀνοματολόγον ἢ πίνακα τῶν ἐν παιδείᾳ ὀνομαστῶν, οὗ ἐπιτομή ἐστι τοῦτο τὸ βιβλίον, καὶ χρονικὴν ἱστορίαν, ἥντινα διεῖλεν εἰς ἓξ διαστήματα (οὕτω γὰρ καλεῖ ἕκαστον βιβλίον), ἐν οἷς ἐμφέρονται αἱ κατὰ καιροὺς πράξεις τῶν Ῥωμαίων βασιλέων καὶ αἱ δυναστεῖαι τῶν κατὰ ἔθνος κρατησάντων τυράννων καὶ τὰ κατὰ τὸ Βυζάντιον πραχθέντα ἕως τῆς βασιλείας Ἀναστασίου τοῦ ἐπονομαζομένου δικόρου. εἰς δὲ τὸν πίνακα τῶν ἐν παιδείᾳ λαμψάντων ἐκκλησιαστικῶν διδασκάλων οὐδενὸς μνημονεύει, ὡς ἐκ τούτου ὑπόνοιαν παρέχειν μὴ εἶναι αὐτὸν χριστιανόν, ἀλλὰ τῆς Ἑλληνικῆς ματαιότητος ἀνάπλεων. καὶ ἡσυχῇ ἡσύχως.

ἤσχαλλον ἐλυποῦντο.

ἠσχάτισεν ὑστέρησεν.

ἦτα τὸ στοιχεῖον, τὸ γράμμα. ἧττα ἡ ἥττησις.

ἡταίρηκεν ἡτάκτησεν. "ἡταιρηκέναι δὲ τοῖς ἄνω μέρεσι τοῦ σώματος, οὐκ εἶναι δ' ἄξιον τὸ ἱερὸν πῦρ φυσᾶν" (cf. v. Δημοχάρης).

ἡταιρηκώς ἐπὶ τῆς πορνείας, ἡταιρικῶς δὲ ἐπὶ τοῦ ἑταίρου.

ἢ τὰν ἢ ἐπὶ τάν ἢ ταύτην ἢ ἐπὶ ταύτης. γυνὴ Λάκαινα τῷ παιδὶ δοῦσα τὴν ἀσπίδα τοῦτο εἶπεν.

ἡτημένην ἀντὶ τοῦ κεχρημένην· καὶ γὰρ αἰτεῖσθαι ἔλεγον τὸ κίχρασθαι. Harp.

ἤτησεν ἐζήτησεν.

ἠτίμησεν ⟨Hom. Α 11⟩ ἠτίμασεν, ὕβρισεν.

ἦτορ ψυχή· Ὅμηρος ⟨Λ 115⟩ "ἁπαλόν τέ σφ' ἦτορ ἀπηύρα." ὅπερ ἐκίνησε τοὺς στωικοὺς λέγειν ὅτι συναύξεται τῷ σώματι ἡ ψυχὴ καὶ συμμειοῦται πάλιν.

ἠτρέμιζεν ἐκαρτέρει, ἡσύχαζεν.

ἤτρια οἱ στήμονες· ⟨AP 6 288⟩ "τόν τε πρόσεργον ἄτρακτον, καὶ τὰν ἄτρια κρινομέναν κερκίδα, τὰν ἱστῶν μολπάτιδα."

ἠτριαῖα καὶ ἠτριαῖον.

ἤτριον ἔνδυμα ὑμενῶδες· "μετεωρίζον τὸ ποικίλον ἤτριον πάσας ἐλίσσει τροπάς" (cf. vv. Ἰνδοί et χιλιοστύς). λέγει περὶ τοῦ δρακοντοειδοῦς σημείου τοῦ ἐν πολέμῳ. ἴτριον δὲ τὸν ἄρτον.

ἢ τρὶς ἓξ ἢ τρεῖς κύβοι. τὸ μὲν τρὶς ἓξ τὴν παντελῆ νίκην δηλοῖ, τὸ δὲ τρεῖς κύβοι τὴν ἧτταν.

ἦτρον τὸ ὑπὸ τὸν ὀμφαλὸν μέρος. καὶ τὸ κάλυμμα τῆς μήτρας, ὃ καλοῦσιν ἔλυτρον· Ἀριστοφάνης ⟨Th. 516⟩ "τὸ γὰρ ἦτρον τῆς χύτρας ἐλάκτισεν." ἐν χύτραις γὰρ τὰ παιδία ἐξετίθεσαν.

ἡττηθείς" ἀντὶ τοῦ ἧττον ἔχων "ἀπέλθοι."

ἡττήθης τῆς ἀληθείας. καὶ ἡττήθης τινος ἀλεκτρυόνος ⟨A Av. 70⟩, ἐπὶ δούλων ἢ θεραπόντων ἑπομένων τοῖς δεσπόταις. φυσικὸν ἐςι τοῦτο, ἐπεὶ ἐν ταῖς συμβολαῖς τῶν ἀλεκτρυόνων οἱ ἡττηθέντες ἕπονται τοῖς νενικηκόσι. καὶ Θεόκριτος ⟨22 72⟩ "ὀρνίθων φοινικολόφων τοιοίδε κυδοιμοί."

ἥττημαί σου, γενικῇ.

ἡττημένος ὁ νενικημένος.

ἧττον· ⟨A Plut. 1119⟩ "τῶν ἄλλων ἁπάντων ἧττόν μοι μέλει," ἀντὶ τῦ οὐδαμῶς.

ἡττώμενος, γενικῇ, νικώμενος.

ἥττων ἐλάττων, ὑποχείριος· "οὕτω δὲ ἦν Ἐπίκουρος ἡδονῆς ἥττων --- προτιμῶν" ⟨cf. v. Ἐπίκουρος⟩.

ἤτω ὑπαρχέτω· "ἤτω ἡ δόξα κυρίου εἰς τοὺς αἰῶνας." τρίτον πρόσωπόν ἐςι προςακτικόν, ἀπὸ τοῦ εἰμὶ τὸ ὑπάρχω· ἡ μετοχὴ εἷς ἔντος, τὸ προςακτικὸν ἔθι ἔτω, ἐπεκτάσει ἤτω, καὶ πλεονασμῷ τοῦ σ ἔςω. ἢ ἀπὸ τοῦ ἔω τὸ ὑπάρχω ἧεν ἧες ἧε, καὶ τὸ προςτακτικὸν ἔε ἐέτω, καὶ κράσει τῶν δύο ε εἰς η ἤτω.

ἠυγένειος ⟨Hom. O 275⟩ ὁ καλὸν γένειον ἔχων.

ηὔγισεν.

ηὔδα ἔλεγεν, εἶπεν.

ηὐδάξαντο ἐφήμισαν.

ηὔδησα ἐφώνησα.

ηὐδόκησα ἠθέλησα.

ηὔλησα ὠργάνισα.

ηὐλήσαντο ἐταράχθησαν, ἐςράφησαν, πεφύσηνται. ηὐλίσαντο δὲ κατέλυσαν, ἠπλήκευσαν.

ηὐλόγησα ηὐξάμην. καὶ εὐλόγησα ὡς ἀττικώτερον.

ηὐμοίρησα ἐπέτυχον.

ηὐπόρησα ἐν εὐπορίᾳ εἰμί.

ηὐρῆσθαι καὶ εὐρῆσθαι.

ἠύς ὁ ἀγαθός.

ἤυσεν ⟨Hom. E 784⟩ ἐφώνησεν.

ηὐτομόλησεν ἀφ' ἑαυτοῦ παρεγένετο.

ηὐτρέπισα ἡτοίμασα.

ηὐχένιζεν τὸν τράχηλον ἀπέκοπτεν, ἐλαιμοτόμει. ὅπερ Ὅμηρος αὐερύειν φησί. sch. S Ai. 298.

Ἥφαιςε πρόμολ' ὧδε ⟨Hom. Σ 392⟩ οὕτως ὡς ἔχεις παρελθών, μηδὲν ὑπερθέμενος.

Ἡφαίςειος δεσμός, ἐπὶ τῶν ἀφύκτων· "ὁ δὲ συγκατειλημμένος πάθεσιν ὥσπερ Ἡφαιςείοις δεσμοῖς ἀρρήκτοις ἀλύτοις, ἔμενέ γε ἐν αὐτοῖς ἔμπεδον· τὰ δὲ ἦν ἐρωτομανία καὶ μέθη καὶ πλεονεξία" ⟨cf. v. Ἀρβαζάκιος⟩.

Ἡφαιςία. δύο πόλεις ἦσαν τῆς Λήμνȣ, Μύρινά τε καὶ Ἡφαιςία. Harp.

Ἡφαιςίων Ἀλεξανδρεὺς γραμματικὸς a ἔγραψεν ἐγχειρίδιον μέτρων, καὶ μετρικὰ διάφορα, περὶ τῶν ἐν ποιήμασι ταραχῶν, κωμικῶν ἀπορημάτων λύσεις, τραγικῶν λύσεων, καὶ ἄλλα πλεῖςα, καὶ τῶν μέτρων τȣ̀ς ποδισμȣ́ς.

Ἡφαιςίων Μακεδών, ἑταῖρος τῦ Ἀλεξάνδρου. "λόγος δὲ ἔχει Ἀλέξανδρον ἐλθεῖν ἐπὶ τὴν σκηνὴν τῶν γυναικῶν Δαρείου τοῦ Πέρσου, καὶ παρελθεῖν εἴσω ξὺν Ἡφαιςίωνι μόνῳ τῶν ἑταίρων· καὶ τὴν μητέρα τὴν Δαρείου ἀγνοήσασαν ὅςις ὁ βασιλεὺς εἴη αὐτοῖν (ἐςάλθαι γὰρ ἄμφω τῷ αὐτῷ κόσμῳ) τὴν δὲ Ἡφαιςίωνι προσελθεῖν καὶ προσκυνῆσαι, ὅτι μείζων αὐτῇ ἐφάνη ἐκεῖνος. ὡς δὲ ὁ Ἡφαιςίων τε ὀπίσω ὑπεχώρησε καί τις τῶν ἀμφ' αὐτὴν τὸν Ἀλέξανδρον δείξας ἐκεῖνον ἔφη εἶναι Ἀλέξανδρον, τὴν μὲν καταιδεσθεῖσαν τῇ διαμαρτίᾳ ἀποχωρεῖν, Ἀλέξανδρον δὲ οὐ φάναι αὐτὴν ἁμαρτεῖν, καὶ γὰρ ἐκεῖνον εἶναι Ἀλέξανδρον. καὶ ταῦτα ἐγὼ οὔτε ὡς ἀληθῆ οὔτε ὡς πάντῃ ἄπιςα ἀνέγραψα· ἀλλὰ εἴτε οὕτως ἐπράχθη, ἐπαινῶ Ἀλέξανδρον τῆς τε ἐς τὰς γυναῖκας κατοικτίσεως καὶ τῆς ἐς τὸν ἑταῖρον πίςεως καὶ τιμῆς, εἴτε πιθανὸς δοκεῖ τοῖς ξυγγράψασιν Ἀλέξανδρος ὡς καὶ ταῦτα ἂν πράξας καὶ εἰπών, καὶ ἐπὶ τῷδε ἐπαινῶ Ἀλέξανδρον." οὕτως φησὶν Ἀρριανός ⟨Anab. 2 12⟩. b

ὅτι Ἥφαιςος ὁ θεὸς καὶ τὸ πῦρ.

ὅτι Ἑρμοῦ βασιλεύσαντος εἰς Αἴγυπτον καὶ θανόντος Ἥφαιςος παραλαμβάνει τὴν βασιλείαν ἡμέρας ͵αχπ', ὡς γίνεσθαι ἔτη δ', μῆνας ζ', ἡμέρας η'· οὐκ ᾔδεισαν γὰρ τότε Αἰγύπτιοι ἐνιαυτοὺς μετρῆσαι, ἀλλὰ τὴν περίοδον τῆς ἡμέρας ἐνιαυτὸν ἔλεγον. ἦν δὲ μυςικὸς καὶ πολεμικός, διὸ καὶ θεὸν αὐτὸν ἐκάλουν· ὅςις πολεμῶν ἐπλήγη τὸν πόδα καὶ γέγονε χωλός. ἔθηκε δὲ καὶ νόμον τοῖς Αἰγυπτίοις σωφροσύνης· οὐκ ᾔδεισαν γὰρ μονανδρεῖν αἱ τούτων γυναῖκες. ὑπὸ δὲ μυςικῆς εὐχῆς τὴν ὀξυλάβην ἀπὸ τοῦ ἀέρος ἐδέξατο, δι' ἧς κατεσκεύασεν ἀπὸ σιδήρȣ ὅπλα πολεμικὰ καὶ γεωργικὰ ἐργαλεῖα· πρὸ γὰρ αὐτοῦ μετὰ ῥοπάλων καὶ λίθων ἐπολέμουν.

ἡ Φάνου θύρα. τὸν Φανόν φησι Δήμων ὀβολοστάτην εἶναι, ἄλλοι δὲ τυφλόν, ὑπανοιγομένης δὲ αὐτῷ τῆς τοῦ ταμιείου θύρας κατασκευάσαι τοιαύτην ἣν οὐκ ἄν τις ἤνοιξε μὴ ψόφον ποιήσας. ἐνίους δὲ λέγειν ὡς μοιχευομένης αὐτῷ τῆς γυναικὸς τὴν αὔλειον θύραν εἰργάσατο ὡς μὴ ἄνευ ψόφου ἀνοίγεσθαι. τῆς δὲ κατὰ τοῦ στέγους δεχομένης τὸν μοιχόν, χλευάζοντας τοὺς γείτονας ἐπὶ τῶν μηδὲν ἀνυόντων ἐν τῷ φυλάττειν τὴν Φάνου θύραν εἶναι λέγειν.

ἠφειδήκεισαν. καὶ ἠφειδηκότες καταπαύσαντες, μὴ φεισάμενοι.

ἠφείθη εἰάθη, συνεχωρήθη.

ἠφηνιακόσιν.

ἠφίεσαν ἔπεμψαν.

ἠφλυσμός ἀφρός.

ἠφρόνησεν κακῶς ἐφρόνησεν.

ἡ φῦσα. καὶ ὁ φύς ὁ γεννήσας.

ἤφυσεν (Hom. *N* 508) ἤντλησεν.

ἠφώρισεν ἐχώρισεν.

ἠφωρίσθαι διακεχωρίσθαι.

ἡ χάραξ τὴν ἄμπελον (A Vesp. 1282) ἐπὶ τῶν ὑπὸ χεῖρα. cf. v. χάραξ.

ἦχεν ἐγεγαμήκει.

ἦχεν ἐπὶ τὸν οἶκον ἀντὶ τοῦ ἐκόμισεν.

ἠχέτης ὁ ἄρρην τέττιξ· (AP 7 201) "ἀλλά σε γηρύοντα κατήναρεν, ἠχέτα τέττιξ, παιδὸς ἀπ' ἠιθέου χειρί με πεπταμένα."

ἠχήεις ὁ ἦχον ἀποτελῶν.

ἠχήν ἦχον, ἢ φήμην.

ἠχήσας βοήσας.

ἠχητικόν θορυβητικόν.

ἤχθαιρεν ἐμίσει.

ἤχθοντο ἠγανάκτουν· "ἤχθοντο τὸ στρατιωτικόν, κατηγόρουν τε αὐτόν."

ἦχι (Hom. *A* 607) ὅπου.

ἤχλυσε (Hom. μ 406) συνεσκότασεν.

ἦχος κραυγή.

ἠχρειώθησαν (Ps. 13 4, 52 4) ἀχρεῖοι ἐγένοντο καὶ ἄχρηστοι.

ἢ χρὴ τραγῳδεῖν ἢ μελαγχολᾶν, ἐπὶ τοῦ μήτε λυπεῖσθαι μήτε χαίρειν.

a ἠχώ. ὅτι γίνεται ἡ ἠχὼ κατὰ ἀνάκλασιν τὴν ἀπὸ τῶν ἀντιτύπων καὶ λείων σωμάτων, μάλιστα δὲ κοίλων, τοῦ πληγέντος ὑπὸ τῆς φωνῆς ἀέρος. ὁ γὰρ διαλεγόμενος ὠθεῖ μὲν σχεδὸν πάντα τὸν πέριξ ἀέρα, μάλιστα δὲ τὸν ἔμπροσθεν· διὸ μᾶλλον ἀκούομεν πρὸς ἡμᾶς ὁρῶντος τοῦ διαλεγομένου ἢ ἀπεστραμμένου. οὗτος δὴ ὁ ἔμπροσθεν ἀὴρ ὠθούμενος ὅταν ἐνεχθῇ ἐπί τι ἀντίτυπον ἔχον κοιλότητα, οἷά ἐστι τὰ ἄντρα, συνεχὴς ὢν καὶ ἀδιασκέδαστος μείνας διὰ τὸ περιέχεσθαι ὑπὸ τοῦ κοιλώματος, προσπεσὼν αὐτῷ ἀντιτύπῳ ὄντι σώματι ὠθεῖται εἰς τὸ ἔμπαλιν ὥσπερ ἡ ῥιπτομένη κατὰ τοῦ τοίχου σφαῖρα, καὶ οὕτω χωρεῖ ἐπὶ τὸν πλήξαντα, ἐνεργοῦντος δηλονότι τοῦ ἀέρος δι' ἀμφότερα κατὰ τὴν οἰκείαν αὐτοῦ δύναμιν. οὐ μόνον γὰρ διὰ τὸ μὴ συγχωρεῖσθαι ὑπὸ τοῦ κοίλου τύπου διασκεδασθῆναι, οἷος ἠνέχθη, ὑπὸ τῆς ἀντιτυπίας τοῦ σκληροῦ σώματος εἰς τοὐναντίον ἀπωθεῖται, ἀλλ' ὅτι καὶ τῷ κοίλῳ τούτῳ, ᾧ προσπίπτει, οὐ κενῷ ὄντι προσπίπτει ἀλλ' ἀέρος πλήρει, ὅσπερ ἀὴρ συνεχής ἐστι καὶ ἡνωμένος διὰ τὸ περιέχον. τοῦτον οὖν ὁ ὑπὸ τοῦ φωνήσαντος πληγεὶς ἀὴρ καὶ ψοφῶν διελὼν τῇ φορᾷ, καὶ κωλυθεὶς ὑπ' αὐτοῦ συνεχοῦς ὄντος καὶ ἡνωμένου διασκεδασθῆναι, προσπταίει τῷ σκληρῷ σώματι, καὶ μὴ δυνάμενος πρόσω χωρῆσαι ἀντανακλᾶται εἰς τοὐπίσω μετὰ τῆς οἰκείας ἐνεργείας, λέγω δὴ τοῦ ψόφου. καὶ οὕτω συμβαίνει παλινδρομεῖν τὸν ψόφον. Ἀλέξανδρος δὲ ἑτέρως φησίν. Philopon. in 2 de anima.

ἠχώ· "καὶ τὰ λεγόμενα ἠχὼ εἶχεν, ὥσπερ b ἀπὸ σκήπτρου θεμιστευόμενα" (cf. vv. θεμιστεύσαντος et κατεγλωττισμένον).

ἠχὼ λόγων ἀντῳδὸς ἐπικοκκάστρια (A Th. 1065) ἀντὶ τοῦ εἰωθυῖα γελᾶν, γελάστρια.

ἥψατο (Hom. *A* 512) ἐκράτησεν.

ἡ ψελλὴ οὐ πιττεύω, παροιμία ἐπὶ τῶν τὰ οἰκεῖα ἐλαττώματα πειρωμένων ἀποκρύπτειν.

ἧψεν ἀνῆψεν.

Ἠώη (an Ἠών) ὄνομα πόλεως.

ἠῶθεν ἕωθεν, ὄρθρον.

ἠώκοιτος (Hes. *O.* 572) ὁ πρωινὸς ὕπνος.

Ἠών Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους (23 199) πόλις ἐστί, Μενδαίων ἀποικία. Harp.

Ἠωρείμ ὄνομα κύριον.

ᾐωρημένω κρεμαμένω, καὶ ᾐώρησεν ἐκρέμασεν, ἀνῆψεν· ἐν ἐπιγράμματι (AP 6 172) "ταῦτά σοι, ὦ Διόνυσε, πρὸ παστάδος ᾐώρησε τὰ κάλλευς κόσμια καὶ μανίης."

ᾐώρουν ἐβάσταζον, ἀνεῖχον· (Menand. p. 383 Nieb.) "τὴν δὲ κλίνην ταῶνες τέσσαρες χρυσοῖ ᾐώρουν." αἰωρῶ τὸ ῥῆμα.

ἠώς ὁ πρὸ ἡμέρας ὄρθρος. ἐπὶ μὲν τῆς θεᾶς (Hom. *Λ* 1, ε 1) "Ἠὼς δ' ἐκ λεχέων," ἐπὶ δὲ ὅλης ἡμέρας (*Φ* 155) "ἥδε δέ μοι νῦν ἠὼς ἐνδεκάτη," ἐπὶ δὲ τῆς πρωίας ἕως ἕκτης ὥρας (*Φ* 111) "ἔσσεται ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ." λέγεται δὲ ἡμέρα κοινῶς ἠώς, ἰωνικῶς ἕως, δωρικῶς ἀώς, αἰολικῶς ἐκ τούτου αὔώς.

Θαβώρ ὄνομα ὄρους. λέγεται δὲ καὶ Θαβώριον.

Θαιμανίτης ὁ ἀπὸ Θαιμάν, ὅ ἐϛι....

θαιρούς τοὺς ϛροφεῖς τῆς θύρας.

θᾶκοι θρόνοι, καθέδραι.

θᾶκος τόπος ἔνθα πολλοὶ συνήρχοντο σκεψόμενοι.

θαλά· (3 Regg. 18 35) "καὶ τὴν θαλὰ ἐπλήρωσεν ὕδατος."

θαλάμακες. καὶ θαλάμακι τῷ κωπηλατοῦντι ἐν τῷ κάτω μέρει τῆς τριήρας. οἱ δὲ θαλάμακες ὀλίγον ἐλάμβανον μισθὸν διὰ τὸ κολοβαῖς χρῆσθαι κώπαις πρὸς τὰς ἄλλας τάξεις τῶν ἐρετῶν, ὅτι μᾶλλόν εἰσιν ἐγγὺς τοῦ ὕδατος· ἦσαν δὲ τρεῖς τάξεις τῶν ἐρετῶν, ἡ μὲν κάτω θαλαμῖται, ἡ δὲ μέση ζυγῖται, ἡ δὲ ἄνω θρανῖται. ἢ θρανίτης ὁ πρὸς τὴν πρύμναν. θαλαμία δὲ ἡ ὀπὴ δι' ἧς ἐξέρχεται ἡ κώπη. sch. A Ran. 1106.

θαλάμη. καὶ θάλαμος οἶκος ἢ κοιτών. (AP 6 220) "ἱρήν σοι θαλάμην ζωάγρια καὶ λαλάγημα τοῦτο τὸ θηρὶ φυγῆς αἴτιον ἀντίθεμαι," καὶ αὖθις (6 239) "ἐκ δὲ μελιχροῦ νέκταρος ἐμπλήσαις κηροπαγεῖς θαλάμας."

θαλαμηπόλος ἡ περὶ τὸν θάλαμον ἀναϛρεφομένη καὶ φυλάττουσα, ἡ νεωκόρος· (AP 6 173) "Ἀχρυλὶς ἡ Φρυγίη θαλαμηπόλος, ἡ περὶ πεύκας πολλάκι τοὺς ἱεροὺς χευαμένη πλοκάμους."

θαλαμίδιοι κῶπαι αἱ ἠρέμα ἐλαύνουσαι. Ἡρόδοτος (5 33) "τοῦτον δῆσαι θαλαμίης διελόντας τῆς νηὸς κατὰ τοῦτο, ἔξω μὲν κεφαλὴν ποιεῦντας, ἔσω δὲ τὸ σῶμα."

θαλάττῃ ἐκ χαράδρας ὕδωρ, ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ προσφιλοτιμουμένων. ὁμοίως τῷ βῶλος ἄρουρα.

θαλάττιον κῦμα.

θαλαττοκοπεῖς ματαιολογεῖς, ταράττῃ, θορυβῇ, ἀπὸ τῆς θαλάττης, ἢ ὅταν ὑπὸ ἀνέμων ταραχθῇ, ἀλλήλοις συγκρούει τὰ κύματα. sch. A Eq. 827.

θαλέεσσι τρυφαῖς θάλλειν ποιούσαις· "τὴν μὲν ἐγὼ θαλέεσσιν ἀνέτρεφον." (AP 6 292) "ἦν γὰρ ἐρώτων καὶ χαρίτων ἡ παῖς ἀμβρόσιόν τι θάλος," τουτέϛι βλάϛημα.

θαλέθοντες (Hom. ψ 32) θάλλοντες.

θάλεια εὐωχία, ἀπὸ τοῦ θάλλειν· "τὴν μὲν δὴ νύκτα ἐκείνην ἐν θαλείαις καὶ εὐπαθείαις διετέλεσαν." καὶ θάλεια δαίς (Hom. *H* 475) ἡ θάλλουσα. σημαίνει καὶ ὄνομα μούσης.

Θαλέλαιος ὄνομα κύριον.

θαλεροί δίυγροι, νέοι, ἀκμαῖοι, ἢ ταχεῖς· "οἱ δὲ ἐπιλεξάμενοι τοὺς θαλεροὺς τῶν Ἰσαύρων ὥρμησαν ἐπὶ παράλογον πρᾶξιν." καὶ (AP 7 204) "θαλερώπιδος ἠριγενείης" τῆς εὐπροσώπου ἡμέρας.

Θαλῆς Ἐξαμύου καὶ Κλεοβουλίνης, Μι- a
λήσιος, ὡς δὲ Ἡρόδοτος (1 170), Φοῖνιξ, γεγονὼς πρὸ Κροίσου ἐπὶ τῆς λε' ὀλυμπιάδος, κατὰ δὲ Φλέγοντα γνωριζόμενος ἤδη ἐπὶ τῆς ζ', ἔγραψε περὶ μετεώρων ἐν ἔπεσι, περὶ ἰσημερίας, καὶ ἄλλα πολλά. ἐτελεύτησε δὲ γηραιὸς θεώμενος γυμνικὸν ἀγῶνα, πιληθεὶς δὲ ὑπὸ τοῦ ὄχλου καὶ ἐκλυθεὶς ὑπὸ τοῦ καύματος. πρῶτος δὲ Θαλῆς τὸ τοῦ σοφοῦ ἔσχεν ὄνομα, καὶ πρῶτος τὴν ψυχὴν εἶπεν ἀθάνατον, ἐκλείψεις τε καὶ ἰσημερίας κατείληφεν. ἀποφθέγματα δὲ αὐτοῦ πλεῖϛα, καὶ τὸ θρυλούμενον γνῶθι σαυτόν· τὸ γὰρ "ἐγγύα, πάρα δ' ἄτα" Χίλωνός ἐϛι μᾶλλον, ἰδιοποιησαμένου αὐτὸ καὶ τὸ μηδὲν ἄγαν. Cedren. p. 157.

Θαλῆς ὁ φυσικὸς φιλόσοφος, ἐπὶ Δα- b
ρείου προειπὼν τὴν τοῦ ἡλίου ἔκλειψιν· καὶ Ἀριϛοφάνης φησὶν (Av. 1010) "ἄνθρωπος Θαλῆς" ἀντὶ τοῦ ἄκρος τὴν ἀϛρονομίαν. κλίνεται δὲ Θαλοῦ, Θάλης δὲ Θάλητος. παρατηρητέον δὲ ὡς ὅτι ἀπ' εὐθείας τῆς Θαλῆς, ὡς Ἑρμῆς Ἑρμῆν, Θαλῆν ἔκλινεν Ἀριϛοφάνης. καὶ Ἑρμέας ὡς Θαλέας. διχῶς δὲ τοὔνομα ἐκφωνητέον, βαρυτόνως μὲν Θάλης ὡς Χρέμης, οὗ ἡ γενικὴ Θάλητος, Θαλῆς δὲ Θαλοῦ. sch. A Nub. 180.

Θαλήτας Κνώσσιος ῥαψῳδὸς ποιήματά a
τινα μυθικά.

Θαλήτας Κρὴς Ἐλύριος λυρικός, γεγο- b
νὼς πρὸ Ὁμήρου, μέλη.

θαλίαις ἑορταῖς.

θαλλός κλάδος ἐλαίας, ἢ πᾶν τὸ θάλλον· "ἔχοντας θαλλοὺς ὡσεὶ ι' τὸν ἀριθμὸν ἔπεμψαν ἄνδρας."

θάλλω δοτικῇ.